BYZANTINE GREEK SERIES · VOLUME 61

The Gospel of Nicodemus

ΥΠΟΜΝΗΜΑΤΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΠΡΑΧΘΕΝΤΑ ΕΠΙ ΠΟΝΤΙΟΥ ΠΙΛΑΤΟΥ

The Gospel of Nicodemus

With the Infancy Gospels, the Pilate Cycle, the Dormition, the Apocalypses, and Thecla

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 61 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows the Protevangelium, the Infancy Gospel of Thomas, the Acts of Pilate, the Descent into Hell, the Report and the Handing Over of Pilate, and the Narrative of Joseph of Arimathea in C. Tischendorf, Evangelia apocrypha (2nd ed., Leipzig, 1876); the Apocalypse of Paul and the Dormition in his Apocalypses apocryphae (Leipzig, 1866); the Apocalypse of the Virgin in M. R. James, Apocrypha anecdota (Cambridge, 1893); the Acts of Paul and Thecla in R. A. Lipsius, Acta apostolorum apocrypha I (Leipzig, 1891)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

THE PROTEVANGELIUM OF JAMES

I · The Protevangelium of James, 1–12 9
II · The Protevangelium of James, 13–25 24

THE INFANCY GOSPEL OF THOMAS

III · The Infancy Gospel of Thomas 43

THE ACTS OF PILATE

IV · The Acts of Pilate, Prologue–8 63
V · The Acts of Pilate, 9–16 84

THE DESCENT INTO HELL

VI · The Descent into Hell 121

THE REPORT OF PILATE

VII · The Report of Pilate 141

THE HANDING OVER OF PILATE

VIII · The Handing Over of Pilate 151

THE NARRATIVE OF JOSEPH OF ARIMATHEA

IX · The Narrative of Joseph of Arimathea 161

THE DORMITION OF THE VIRGIN

X · The Dormition of the Virgin 179

THE APOCALYPSE OF PAUL

XI · The Apocalypse of Paul 209

THE APOCALYPSE OF THE VIRGIN

XII · The Apocalypse of the Virgin 249

THE ACTS OF PAUL AND THECLA

XIII · The Acts of Paul and Thecla 279

ANONYMOUS

ΓΕΝΝΗΣΙΣ ΜΑΡΙΑΣ

The Protevangelium of James

Γέννησις Μαρίας τῆς ἁγίας Θεοτόκου καὶ ὑπερενδόξου μητρὸς Ἰησοῦ Χριστοῦ

I · THE PROTEVANGELIUM OF JAMES, 1–12

Joachim, a rich man of Israel, is refused first place at the offering because he has no child, and goes into the desert to fast forty days; his wife Anna laments her widowhood and barrenness under a laurel, and an angel tells each of them that she will conceive. Their daughter Mariam is born, walks seven steps at six months, and is kept pure in a sanctuary in her bedchamber; at three she is taken to the temple, where she dances on the altar step and is fed by an angel. At twelve the priests give her to whichever widower the Lord marks by a sign, and a dove flies from Joseph's rod onto his head. Chosen by lot to spin the purple and scarlet for the temple veil, Mariam hears a greeting when she goes out to draw water and is told by the angel that she will conceive from the Lord's word; she visits Elisabeth, and hides herself from the sons of Israel at sixteen.

Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἦν 1
in the histories of-the twelve tribes — of-Israel there-was
Ἰωακείμ, πλούσιος σφόδρα, καὶ προσέφερε τὰ δῶρα αὐτοῦ
Joachim rich very and he-offered the gifts his
διπλᾶ, λέγων· ἔσται τῆς περιουσίας μου παντὶ τῷ λαῷ, καὶ
double saying (it)-shall-be of-the abundance my for-all the people and
τὸ τῆς ἀφέσεώς μου κυρίῳ εἰς ἱλασμὸν ἐμοί. Ἤγγικεν
the(-gift) of-the forgiveness my to-(the)-Lord for propitiation for-me drew-near
δὲ ἡ ἡμέρα κυρίου ἡ μεγάλη, καὶ προσέφερον οἱ υἱοὶ
and the day of-(the)-Lord the great and were-offering the sons
Ἰσραὴλ τὰ δῶρα αὐτῶν. καὶ ἔστη κατενώπιον αὐτοῦ Ῥουβὶμ
of-Israel the gifts their and stood before him Reubim
λέγων· οὐκ ἔξεστίν σοι πρῶτον προσενεγκεῖν τὰ δῶρά σου,
saying not it-is-lawful for-you first to-offer the gifts your
καθότι σπέρμα οὐκ ἐποίησας ἐν τῷ Ἰσραήλ. καὶ ἐλυπήθη
because seed not you-made in — Israel and was-grieved

Ἰωακεὶμ σφόδρα, καὶ ἀπίει εἰς τὴν δωδεκάφυλον τοῦ λαοῦ
Joachim very and went to the twelve-tribe(-record) of-the people
λέγων· θεάσομαι τὴν δωδεκάφυλον τοῦ Ἰσραήλ, εἰ ἐγὼ
saying I-will-look-at the twelve-tribe(-record) — of-Israel whether I
μόνος οὐκ ἐποίησα σπέρμα ἐν τῷ Ἰσραήλ. καὶ ἠρεύνησε,
alone not made seed in — Israel and he-searched
καὶ εὗρε πάντας τοὺς δικαίους ὅτι σπέρμα ἀνέστησαν ἐν
and found all the righteous that seed they-raised-up in
τῷ Ἰσραήλ· καὶ ἐμνήσθη τοῦ πατριάρχου Ἀβραάμ, ὅτι ἐν
— Israel and he-remembered the patriarch Abraham that in
τῇ ἐσχάτῃ ἡμέρᾳ ἔδωκεν αὐτῷ ὁ θεὸς υἱὸν τὸν Ἰσαάκ.
the last day gave him — God (a)-son — Isaac
καὶ ἐλυπήθη Ἰωακεὶμ σφόδρα, καὶ οὐκ ἐφάνη τῇ γυναικὶ
and was-grieved Joachim very and not appeared to-the wife
αὐτοῦ· ἀλλ᾽ ἔδωκεν ἑαυτὸν εἰς τὴν ἔρημον κἀκεῖ ἔπηξε τὴν
his but gave himself into the desert and-there he-pitched the
σκηνὴν αὐτοῦ, καὶ ἐνήστευσεν ἡμέρας τεσσαράκοντα καὶ
tent his and fasted days forty and
νύκτας τεσσαράκοντα, λέγων ἐν ἑαυτῷ· οὐ καταβήσομαι
nights forty saying in himself not I-will-go-down
οὔτε ἐπὶ βρωτὸν οὔτε ἐπὶ ποτὸν ἕως οὗ ἐπισκέψεταί με
neither for food nor for drink until — will-visit me
κύριος ὁ θεός μου, καὶ ἔσται μου ἡ εὐχὴ βρῶμα καὶ πόμα.
(the)-Lord — God my and shall-be my the prayer food and drink

2 Ἡ δὲ γυνὴ αὐτοῦ Ἄννα δύο θρήνους ἐθρήνει καὶ δύο κοπετοὺς
the and wife his Anna two laments lamented and two mournings
ἐκόπτετο, λέγουσα· κόψομαι τὴν χηρείαν μου, κόψομαι
mourned saying I-will-mourn the widowhood my I-will-mourn
καὶ τὴν ἀτεκνίαν μου. Ἤγγισεν δὲ ἡ ἡμέρα κυρίου
and the childlessness my drew-near and the day of-(the)-Lord
ἡ μεγάλη, καὶ εἶπεν Ἰουδὶθ ἡ παιδίσκη αὐτῆς· ἕως πότε
the great and said Judith the maid her until when

ταπεινοῖς τὴν ψυχήν σου; ἰδοὺ ἤγγικεν ἡ ἡμέρα κυρίου
do-you-humble the soul your behold has-drawn-near the day of-(the)-Lord
ἡ μεγάλη, καὶ οὐκ ἔξεστίν σοι πενθεῖν· ἀλλὰ λάβε τοῦτο
the great and not it-is-lawful for-you to-mourn but take this
τὸ κεφαλοδέσμιον, ὃ ἔδωκέν μοι ἡ κυρία τοῦ ἔργου, καὶ
the headband which gave me the mistress of-the work and
οὐκ ἔξεστίν μοι ἀναδήσασθαι αὐτό, καθότι παιδίσκη εἰμί,
not it-is-lawful for-me to-bind-on it because (a)-maid I-am
καὶ χαρακτῆρα ἔχει βασιλικόν. καὶ εἶπεν Ἄννα· ἀπόστηθι
and (a)-mark it-has royal and said Anna go-away
ἀπ᾽ ἐμοῦ, καὶ ταῦτα οὐκ ἐποίησα, καὶ κύριος ἐταπείνωσέν
from me and these(-things) not I-did and (the)-Lord humbled
με σφόδρα· μήπως πανοῦργος ἔδωκέν σοι τοῦτο, καὶ ἦλθες
me greatly perhaps (a)-knave gave you this and you-came
κοινωνῆσαί με τῇ ἁμαρτίᾳ σου. καὶ εἶπεν Ἰουδίθ· τί
to-share me in-the sin your and said Judith why
ἀράσομαί σοι, καθότι κύριος ἀπέκλεισε τὴν μήτραν σου τοῦ
shall-I-curse you because (the)-Lord shut the womb your of-the
μὴ δοῦναι σοι καρπὸν ἐν τῷ Ἰσραήλ; καὶ ἐλυπήθη Ἄννα
not to-give you fruit in — Israel and was-grieved Anna
σφόδρα, καὶ περιείλατο τὰ ἱμάτια αὐτῆς τὰ πενθικά, καὶ
greatly and took-off the garments her the mourning(-ones) and
ἀπεσμήξατο τὴν κεφαλὴν αὐτῆς καὶ ἐνεδύσατο τὰ ἱμάτια
washed the head her and put-on the garments
αὐτῆς τὰ νυμφικά, καὶ περὶ ὥραν ἐνάτην κατέβη εἰς
her the bridal(-ones) and about (the)-hour ninth she-went-down into
τὸν παράδεισον τοῦ περιπατῆσαι. καὶ εἶδε δαφνηδαίαν, καὶ
the garden of-the to-walk and saw (a)-laurel and
ἐκάθισεν ὑποκάτω αὐτῆς, καὶ ἐλιτάνευσεν τὸν δεσπότην
sat under it and besought the master
λέγουσα· ὁ θεὸς τῶν πατέρων ἡμῶν, εὐλόγησόν με καὶ
saying — God of-the fathers our bless me and

ἐπάκουσον τῆς δεήσεώς μου, καθὼς εὐλόγησας τὴν μήτραν
hear the prayer my as you-blessed the womb
Σάρρας καὶ ἔδωκας αὐτῇ υἱὸν τὸν Ἰσαάκ.
of-Sarah and you-gave her (a)-son — Isaac

3 Καὶ ἀτενίσασα εἰς τὸν οὐρανὸν εἶδε καλιὰν στρουθίων
and having-gazed into the heaven she-saw (a)-nest of-sparrows
ἐν τῇ δαφνηδαίᾳ, καὶ ἐποίησε θρῆνον ἐν ἑαυτῇ λέγουσα·
in the laurel and made (a)-lament in herself saying
οἴ μοι, τίς με ἐγέννησεν; ποία δὲ μήτρα ἐξέφυσέ με;
woe me who me begot what and womb brought-forth me
ὅτι κατάρα ἐγεννήθην ἐγὼ ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, καὶ
for (a)-curse was-born I before the sons of-Israel and
ὠνειδίσθην, καὶ ἐξεμυκτήρισάν με ἐκ ναοῦ κυρίου.
I-was-reproached and they-mocked me out-of (the)-temple of-(the)-Lord
οἴ μοι, τίνι ὡμοιώθην ἐγώ; οὐχ ὡμοιώθην ἐγὼ τοῖς
woe me to-what was-I-likened I not I-was-likened I to-the
πετεινοῖς τοῦ οὐρανοῦ, ὅτι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
birds of-the heaven for even the birds of-the heaven
γόνιμά εἰσιν ἐνώπιόν σου, κύριε. οἴ μοι, τίνι ὡμοιώθην
fruitful are before you Lord woe me to-what was-I-likened
ἐγώ; οὐχ ὡμοιώθην ἐγὼ τοῖς θηρίοις τῆς γῆς, ὅτι καὶ τὰ
I not I-was-likened I to-the beasts of-the earth for even the
θηρία τῆς γῆς γόνιμά εἰσιν ἐνώπιόν σου, κύριε. οἴ μοι,
beasts of-the earth fruitful are before you Lord woe me
τίνι ὡμοιώθην ἐγώ; οὐχ ὡμοιώθην τοῖς ὕδασιν τούτοις,
to-what was-I-likened I not I-was-likened to-the waters these
ὅτι καὶ τὰ ὕδατα ταῦτα γόνιμά εἰσιν ἐνώπιόν σου, κύριε.
for even the waters these fruitful are before you Lord
οἴ μοι, τίνι ὡμοιώθην ἐγώ; οὐχ ὡμοιώθην ἐγὼ τῇ
woe me to-what was-I-likened I not I-was-likened I to-the

γῇ ταύτῃ, ὅτι καὶ ἡ γῆ αὕτη προσφέρει τοὺς καρποὺς
earth this for even the earth this brings-forth the fruits
αὐτῆς κατὰ καιρόν, καὶ σὲ εὐλογεῖ, κύριε.
its in season and you blesses Lord
Καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη λέγων αὐτῇ· Ἄννα 4
and behold (an)-angel of-(the)-Lord stood-by saying to-her Anna
Ἄννα, ἐπήκουσε κύριος τῆς δεήσεώς σου, καὶ συλλήψει
Anna has-heard (the)-Lord the prayer your and you-shall-conceive
καὶ γεννήσεις, καὶ λαληθήσεται τὸ σπέρμα σου ἐν ὅλῃ
and you-shall-bear and shall-be-spoken-of the seed your in whole
τῇ οἰκουμένῃ. καὶ εἶπεν Ἄννα· ζῇ κύριος ὁ θεός μου,
the world and said Anna lives (the)-Lord — God my
ἐὰν γεννήσω εἴτε ἄρρεν εἴτε θῆλυ, προσάξω αὐτὸ δῶρον
if I-bear whether male or female I-will-bring it (a)-gift
κυρίῳ τῷ θεῷ μου, καὶ ἔσται λειτουργοῦν αὐτῷ πάσας
to-(the)-Lord — to-God my and it-shall-be ministering to-him all
τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἰδοὺ ἦλθον ἄγγελοι δύο
the days of-the life its and behold came angels two
λέγοντες αὐτῇ· ἰδοὺ Ἰωακεὶμ ὁ ἀνήρ σου ἔρχεται μετὰ
saying to-her behold Joachim the husband your comes with
τῶν ποιμνίων αὐτοῦ. ἄγγελος γὰρ κυρίου κατέβη πρὸς
the flocks his (an)-angel for of-(the)-Lord went-down to
αὐτὸν λέγων· Ἰωακεὶμ Ἰωακείμ, ἐπήκουσε κύριος ὁ θεὸς
him saying Joachim Joachim has-heard (the)-Lord — God
τῆς δεήσεώς σου· κατάβηθι ἐντεῦθεν· ἰδοὺ γὰρ ἡ γυνή
the prayer your go-down from-here behold for the wife
σου Ἄννα ἐν γαστρὶ λήψεται. καὶ κατέβη Ἰωακείμ, καὶ
your Anna in (the)-womb shall-conceive and went-down Joachim and
ἐκάλεσεν τοὺς ποιμένας αὐτοῦ λέγων· φέρετέ μοι ὧδε δέκα
called the shepherds his saying bring me here ten
ἀμνάδας ἀσπίλους καὶ ἀμώμους, καὶ ἔσονται κυρίῳ
ewe-lambs spotless and unblemished and they-shall-be for-(the)-Lord

τῷ θεῷ μου· καὶ φέρετέ μοι δεκαδύο μόσχους ἁπαλούς,
— to-God my and bring me twelve calves tender
καὶ ἔσονται τοῖς ἱερεῦσι καὶ τῇ γερουσίᾳ· καὶ ἑκατὸν
and they-shall-be for-the priests and for-the elders and (a)-hundred
χιμάρους παντὶ τῷ λαῷ. καὶ ἰδοὺ Ἰωακεὶμ ἦκε μετὰ τῶν
kids for-all the people and behold Joachim came with the
ποιμνίων αὐτοῦ, καὶ ἔστη Ἄννα πρὸς τὴν πύλην καὶ εἶδε
flocks his and stood Anna at the gate and saw
τὸν Ἰωακεὶμ ἐρχόμενον, καὶ δραμοῦσα ἐκρεμάσθη εἰς τὸν
— Joachim coming and having-run she-hung on the
τράχηλον αὐτοῦ λέγουσα· νῦν οἶδα ὅτι κύριος ὁ θεὸς
neck his saying now I-know that (the)-Lord — God
εὐλόγησέ με σφόδρα· ἰδοὺ γὰρ ἡ χήρα οὐκέτι χήρα, καὶ
has-blessed me greatly behold for the widow no-longer (a)-widow and
ἡ ἄτεκνος ἐν γαστρὶ λήψομαι. καὶ ἀνεπαύσατο Ἰωακεὶμ
the childless in (the)-womb I-shall-conceive and rested Joachim
τὴν πρώτην ἡμέραν εἰς τὸν οἶκον αὐτοῦ.
the first day in the house his

5 Τῇ δὲ ἐπαύριον προσέφερε τὰ δῶρα αὐτοῦ λέγων ἐν ἑαυτῷ·
on-the and morrow he-offered the gifts his saying in himself
ἐὰν κύριος ὁ θεὸς ἱλασθῇ μοι, τὸ πέταλον τοῦ ἱερέως
if (the)-Lord — God be-propitious to-me the plate of-the priest
φανερόν μοι ποιήσει. καὶ προσέφερεν τὰ δῶρα αὐτοῦ
manifest to-me will-make(-it) and offered the gifts his
Ἰωακεὶμ καὶ προσεῖχεν τῷ πετάλῳ τοῦ ἱερέως, ὡς ἐπέβη
Joachim and attended to-the plate of-the priest as he-went-up
ἐπὶ τὸ θυσιαστήριον κυρίου, καὶ οὐκ εἶδεν ἁμαρτίαν ἐν
to the altar of-(the)-Lord and not he-saw sin in
ἑαυτῷ. καὶ εἶπεν Ἰωακείμ· νῦν οἶδα ὅτι κύριος ἱλάσθη
himself and said Joachim now I-know that (the)-Lord has-been-propitious
μοι καὶ ἀφῆκεν πάντα τὰ ἁμαρτήματά μου. καὶ κατέβη
to-me and has-forgiven all the sins my and he-went-down

ἐκ ναοῦ κυρίου δεδικαιωμένος, καὶ ἀπῆλθεν ἐν τῷ
from (the)-temple of-(the)-Lord justified and went-away into the
οἴκῳ αὐτοῦ. ἐπληρώθησαν δὲ οἱ μῆνες αὐτῆς· ἐν δὲ τῷ
house his were-fulfilled and the months her in and the
ἐνάτῳ μηνὶ ἐγέννησεν Ἄννα. καὶ εἶπεν τῇ μαίᾳ· τί
ninth month bore Anna and said to-the midwife what
ἐγέννησα; ἡ δὲ εἶπεν· θῆλυ. καὶ εἶπεν Ἄννα· ἐμεγαλύνθη
did-I-bear she and said (a)-female and said Anna is-magnified
ἡ ψυχή μου ἐν τῇ ἡμέρᾳ ταύτῃ· καὶ ἀνέκλινεν αὐτήν.
the soul my in the day this and she-laid her
πληρωθεισῶν δὲ τῶν ἡμερῶν ἀπεσμήξατο Ἄννα, καὶ ἔδωκεν
when-were-fulfilled and the days washed Anna and gave
μασθὸν τῇ παιδί, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῆς Μαριάμ.
(the)-breast to-the child and named the name her Mariam
Ἡμέρᾳ δὲ καὶ ἡμέρᾳ ἐκραταιοῦτο ἡ παῖς· γενομένης 6
day and by day grew-strong the child having-become
δὲ αὐτῆς ἑξαμηνιαίου ἔστησεν αὐτὴν ἡ μήτηρ αὐτῆς
and she six-months-old set her the mother her
χαμαί, τοῦ διαπειράσαι εἰ ἵσταται. καὶ ἑπτὰ βήματα
on-the-ground of-the to-test whether she-stands and seven steps
περιπατήσασα ἦλθεν εἰς τὸν κόλπον αὐτῆς. καὶ ἀνήρπασεν
having-walked she-came into the bosom her and snatched-up
αὐτὴν λέγουσα· ζῇ κύριος ὁ θεός μου, οὐ μὴ περιπατήσῃς
her saying lives (the)-Lord — God my not — you-shall-walk
ἐν τῇ γῇ ταύτῃ, ἕως ἂν ἀπάξω σε ἐν τῷ ναῷ κυρίου.
on the earth this until — I-bring you into the temple of-(the)-Lord
καὶ ἐποίησεν ἁγίασμα ἐν τῷ κοιτῶνι αὐτῆς, καὶ πᾶν
and she-made (a)-sanctuary in the bedchamber her and every(-thing)
κοινὸν καὶ ἀκάθαρτον οὐκ εἴα διέρχεσθαι δι᾽ αὐτῆς·
common and unclean not she-allowed to-pass through her
καὶ ἐκάλεσε τὰς θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους,
and she-called the daughters of-the Hebrews the undefiled

καὶ διεπλάνων αὐτήν. ἐγένετο δὲ πρῶτος ἐνιαυτὸς τῇ
and they-amused her came and (the)-first year for-the
παιδί, καὶ ἐποίησεν Ἰωακεὶμ δοχὴν μεγάλην, καὶ ἐκάλεσε
child and made Joachim (a)-feast great and called
τοὺς ἱερεῖς καὶ τοὺς γραμματεῖς καὶ τὴν γερουσίαν καὶ
the priests and the scribes and the elders and
πάντα τὸν λαὸν τοῦ Ἰσραήλ. καὶ προσήνεγκεν Ἰωακεὶμ τὴν
all the people — of-Israel and brought Joachim the
παῖδα τοῖς ἱερεῦσι, καὶ εὐλόγησαν αὐτὴν λέγοντες· ὁ θεὸς
child to-the priests and they-blessed her saying — God
τῶν πατέρων ἡμῶν, εὐλόγησον τὴν παῖδα ταύτην καὶ δὸς
of-the fathers our bless the child this and give
αὐτῇ ὄνομα ὀνομαστὸν αἰώνιον ἐν πάσαις ταῖς γενεαῖς. καὶ
her (a)-name renowned everlasting in all the generations and
εἶπε πᾶς ὁ λαός· γένοιτο γένοιτο, ἀμήν. καὶ προσήνεγκεν
said all the people be-it be-it amen and he-brought
αὐτὴν τοῖς ἀρχιερεῦσι, καὶ εὐλόγησαν αὐτὴν λέγοντες· ὁ
her to-the high-priests and they-blessed her saying —
θεὸς τῶν ὑψωμάτων, ἐπίβλεψον ἐπὶ τὴν παῖδα ταύτην
God of-the heights look upon the child this
καὶ εὐλόγησον αὐτὴν ἐσχάτην εὐλογίαν, ἥτις διαδοχὴν
and bless her (with)-(a)-last blessing which succession
οὐκ ἔχει. καὶ ἀνήρπασεν αὐτὴν ἡ μήτηρ αὐτῆς ἐν τῷ
not has and snatched-up her the mother her into the
ἁγιάσματι τοῦ κοιτῶνος αὐτῆς, καὶ ἔδωκεν αὐτῇ μασθόν.
sanctuary of-the bedchamber her and gave her (the)-breast
καὶ ἐποίησεν Ἄννα ᾆσμα κυρίῳ τῷ θεῷ λέγουσα·
and made Anna (a)-song to-(the)-Lord — to-God saying
ᾄσω ᾠδὴν κυρίῳ τῷ θεῷ μου, ὅτι ἐπεσκέψατό
I-will-sing (a)-song to-(the)-Lord — to-God my for he-has-visited
με καὶ ἀφείλατο ἀπ᾽ ἐμοῦ τὸ ὄνειδος τῶν ἐχθρῶν
me and has-taken-away from me the reproach of-the enemies

μου· καὶ ἔδωκέν μοι κύριος καρπὸν δικαιοσύνης αὐτοῦ,
my and gave me (the)-Lord (the)-fruit of-righteousness his
μονοούσιον πολυπλάσιον ἐνώπιον αὐτοῦ. τίς ἀναγγελεῖ
single-in-essence manifold before him who will-announce
τοῖς υἱοῖς Ῥουβὶμ ὅτι Ἄννα θηλάζει; ἀκούσατε ἀκούσατε,
to-the sons of-Reubim that Anna gives-suck hear hear
αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραήλ, ὅτι Ἄννα θηλάζει. καὶ
(you)-the twelve tribes — of-Israel that Anna gives-suck and
ἀνέπαυσεν αὐτὴν ἐν τῷ κοιτῶνι τοῦ ἁγιάσματος αὐτῆς, καὶ
she-laid her in the bedchamber of-the sanctuary her and
ἐξῆλθεν καὶ διηκόνει αὐτοῖς. τελεσθέντος δὲ τοῦ δείπνου
went-out and served them having-been-finished and the supper
κατέβησαν εὐφραινόμενοι καὶ δοξάζοντες τὸν θεὸν Ἰσραήλ.
they-went-down rejoicing and glorifying — God of-Israel
Τῇ δὲ παιδὶ προσετίθεντο οἱ μῆνες αὐτῆς. ἐγένετο δὲ 7
to-the and child were-added the months her became and
διετὴς ἡ παῖς, καὶ εἶπεν Ἰωακείμ· ἀνάξωμεν αὐτὴν ἐν
two-years-old the child and said Joachim let-us-bring-up her into
τῷ ναῷ κυρίου, ὅπως ἀποδῶμεν τὴν ἐπαγγελίαν ἣν
the temple of-(the)-Lord that we-may-pay the promise which
ἐπηγγειλάμεθα, μήπως ἀποστείλῃ ὁ δεσπότης ἐφ' ἡμᾶς
we-promised lest-perhaps send the master upon us
καὶ ἀπρόσδεκτον γένηται τὸ δῶρον ἡμῶν. καὶ εἶπεν Ἄννα·
and unacceptable become the gift our and said Anna
ἀναμείνωμεν τὸ τρίτον ἔτος, ὅπως μὴ ζητήσει ἡ παῖς
let-us-wait-for the third year that not seek the child
πατέρα ἢ μητέρα. καὶ εἶπεν Ἰωακείμ· ἀναμείνωμεν. καὶ
father or mother and said Joachim let-us-wait and
ἐγένετο τριετὴς ἡ παῖς, καὶ εἶπεν Ἰωακείμ· καλέσατε τὰς
became three-years-old the child and said Joachim call the
θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους καὶ λαβέτωσαν ἀνὰ
daughters of-the Hebrews the undefiled and let-them-take each

λαμπάδα, καὶ ἔστωσαν καιόμεναι, ἵνα μὴ στραφῇ ἡ παῖς
(a)-lamp and let-them-be burning that not turn the child
εἰς τὰ ὀπίσω καὶ αἰχμαλωτισθῇ ἡ καρδία αὐτῆς ἐκ
to the(-things) behind and be-captured the heart her from
ναοῦ κυρίου. καὶ ἐποίησαν οὕτως ἕως ἀνέβησαν ἐν τῷ
(the)-temple of-(the)-Lord and they-did thus until they-went-up into the
ναῷ κυρίου. καὶ ἐδέξατο αὐτὴν ὁ ἱερεύς, καὶ φιλήσας
temple of-(the)-Lord and received her the priest and having-kissed(-her)
εὐλόγησεν αὐτὴν καὶ εἶπεν· ἐμεγάλυνεν κύριος τὸ ὄνομά σου
blessed her and said has-magnified (the)-Lord the name your
ἐν πάσαις ταῖς γενεαῖς· ἐπὶ σοὶ ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν
in all the generations in you at (the)-last of-the days
φανερώσει κύριος τὸ λύτρον αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ. καὶ
will-manifest (the)-Lord the redemption his to-the sons of-Israel and
ἐκάθισεν αὐτὴν ἐπὶ τρίτου βαθμοῦ τοῦ θυσιαστηρίου, καὶ
he-seated her on (the)-third step of-the altar and
ἐπέβαλεν κύριος ὁ θεὸς χάριν ἐπ᾽ αὐτήν, καὶ κατεχόρευσεν
cast (the)-Lord — God grace upon her and she-danced
τοῖς ποσὶν αὐτῆς, καὶ ἠγάπησεν αὐτὴν πᾶς οἶκος Ἰσραήλ.
with-the feet her and loved her all (the)-house of-Israel
8 Καὶ κατέβησαν οἱ γονεῖς αὐτῆς θαυμάζοντες καὶ αἰνοῦντες
and went-down the parents her marveling and praising
τὸν δεσπότην θεόν, ὅτι οὐκ ἐπεστράφη ἡ παῖς εἰς τὰ
the master God that not turned the child to the(-things)
ὀπίσω. ἦν δὲ Μαρία ἐν τῷ ναῷ κυρίου ὡς περιστερὰ
behind was and Mary in the temple of-(the)-Lord as (a)-dove
νεμομένη, καὶ ἐλάμβανεν τροφὴν ἐκ χειρὸς ἀγγέλου.
nurtured and she-received food from (the)-hand of-(an)-angel
γενομένης δὲ αὐτῆς δωδεκαετοῦς, συμβούλιον ἐγένετο τῶν
having-become and she twelve-years-old (a)-council was(-held) of-the
ἱερέων λεγόντων· ἰδοὺ ἡ Μαρία γέγονεν δωδεκαετὴς ἐν
priests saying behold — Mary has-become twelve-years-old in

τῷ ναῷ κυρίου· τί οὖν αὐτὴν ποιήσωμεν, μήπως μιάνῃ
the temple of-(the)-Lord what then her shall-we-do lest-perhaps she-defile
τὸ ἁγίασμα κυρίου; καὶ εἶπον τῷ ἀρχιερεῖ· σὺ ἕστηκας
the sanctuary of-(the)-Lord and they-said to-the high-priest you stand
ἐπὶ τὸ θυσιαστήριον κυρίου, εἴσελθε καὶ πρόσευξαι περὶ
at the altar of-(the)-Lord go-in and pray about
αὐτῆς, καὶ ὃ ἐὰν φανερώσει σοι κύριος, τοῦτο
her and what(-ever) — reveal to-you (the)-Lord this
καὶ ποιήσωμεν. καὶ εἰσῆλθεν ὁ ἀρχιερεὺς λαβὼν τὸν
also let-us-do and went-in the high-priest having-taken the
δωδεκακώδωνα εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ ηὔξατο περὶ
twelve-bells into the holy(-place) of-the holies and prayed about
αὐτῆς. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη λέγων αὐτῷ·
her and behold (an)-angel of-(the)-Lord stood-by saying to-him
Ζαχαρία Ζαχαρία, ἔξελθε καὶ ἐκκλησίασον τοὺς χηρεύοντας
Zacharias Zacharias go-out and assemble the widowers
τοῦ λαοῦ, καὶ ἐνεγκάτωσαν ἀνὰ ῥάβδον, καὶ ᾧ ἐὰν
of-the people and let-them-bring each (a)-rod and to-whom(-ever) —
ἐπιδείξῃ κύριος σημεῖον, τούτου ἔσται γυνή. ἐξῆλθον
show (the)-Lord (a)-sign of-this(-one) she-shall-be (the)-wife went-out
δὲ οἱ κήρυκες καθ' ὅλης τῆς περιχώρου τῆς Ἰουδαίας,
and the heralds through whole the countryside — of-Judea
καὶ ἤχησεν ἡ σάλπιγξ κυρίου, καὶ ἔδραμον πάντες.
and sounded the trumpet of-(the)-Lord and ran all
Ἰωσὴφ δὲ ῥίψας τὸ σκέπαρνον ἐξῆλθεν εἰς 9
Joseph and having-thrown-down the axe went-out to
συνάντησιν αὐτῶν· καὶ συναχθέντες ἀπῆλθον πρὸς τὸν
(the)-meeting of-them and having-been-gathered they-went-away to the
ἀρχιερέα, λαβόντες τὰς ῥάβδους. λαβὼν δὲ ἁπάντων τὰς
high-priest having-taken the rods having-taken and of-all the
ῥάβδους εἰσῆλθεν εἰς τὸ ἱερὸν καὶ ηὔξατο. τελέσας δὲ τὴν
rods he-went-in into the temple and prayed having-finished and the

εὐχὴν ἔλαβε τὰς ῥάβδους καὶ ἐξῆλθε καὶ ἐπέδωκεν αὐτοῖς·
prayer he-took the rods and went-out and gave them
καὶ σημεῖον οὐκ ἦν ἐν αὐταῖς. τὴν δὲ ἐσχάτην ῥάβδον
and (a)-sign not was in them the and last rod
ἔλαβεν Ἰωσήφ· καὶ ἰδοὺ περιστερὰ ἐξῆλθεν ἐκ τῆς ῥάβδου
took Joseph and behold (a)-dove came-out from the rod
καὶ ἐπετάσθη ἐπὶ τὴν κεφαλὴν Ἰωσήφ. καὶ εἶπεν ὁ ἱερεὺς
and flew upon the head of-Joseph and said the priest
τῷ Ἰωσήφ· σὺ κεκλήρωσαι τὴν παρθένον κυρίου
— to-Joseph you have-been-chosen-by-lot the virgin of-(the)-Lord
παραλαβεῖν εἰς τήρησιν ἑαυτῷ. καὶ ἀντεῖπεν Ἰωσὴφ
to-receive into keeping for-yourself and spoke-against(-it) Joseph
λέγων· υἱοὺς ἔχω καὶ πρεσβύτης εἰμί, αὕτη δὲ νεᾶνις·
saying sons I-have and (an)-old-man I-am she and (a)-girl
μήπως περίγελως γένωμαι τοῖς υἱοῖς Ἰσραήλ. καὶ εἶπεν
lest-perhaps (a)-laughingstock I-become to-the sons of-Israel and said
ὁ ἱερεὺς τῷ Ἰωσήφ· φοβήθητι κύριον τὸν θεόν σου, καὶ
the priest — to-Joseph fear (the)-Lord — God your and
μνήσθητι ὅσα ἐποίησεν ὁ θεὸς Δαθὰν καὶ Ἀβειρὼν καὶ
remember what-things did — God (to)-Dathan and Abiram and
Κορέ, πῶς ἐδιχάσθη ἡ γῆ καὶ κατεπόθησαν διὰ τὴν
Korah how was-split the earth and they-were-swallowed-up because-of the
ἀντιλογίαν αὐτῶν. καὶ νῦν φοβήθητι, Ἰωσήφ, μήπως ἔσται
gainsaying their and now fear Joseph lest-perhaps shall-be
ταῦτα ἐν τῷ οἴκῳ σου. καὶ φοβηθεὶς Ἰωσὴφ παρέλαβεν
these(-things) in the house your and having-feared Joseph received
αὐτὴν εἰς τήρησιν ἑαυτῷ. καὶ εἶπεν Ἰωσὴφ τῇ Μαριάμ·
her into keeping for-himself and said Joseph — to-Mariam
ἰδοὺ παρέλαβόν σε ἐκ ναοῦ κυρίου, καὶ νῦν καταλείπω
behold I-received you from (the)-temple of-(the)-Lord and now I-leave

σε ἐν τῷ οἴκῳ μου καὶ ἀπέρχομαι οἰκοδομῆσαι τὰς
you in the house my and I-go-away to-build the
οἰκοδομάς μου, καὶ ἥξω πρὸς σέ· κύριός σε διαφυλάξει.
buildings my and I-will-come to you (the)-Lord you will-guard
Ἐγένετο δὲ συμβούλιον τῶν ἱερέων λεγόντων· ποιήσωμεν 10
was(-held) and (a)-council of-the priests saying let-us-make
καταπέτασμα τῷ ναῷ κυρίου. καὶ εἶπεν ὁ ἱερεύς·
(a)-veil for-the temple of-(the)-Lord and said the priest
καλέσατέ μοι παρθένους ἀμιάντους ἀπὸ τῆς φυλῆς Δαυίδ.
call me virgins undefiled from the tribe of-David
καὶ ἀπῆλθον οἱ ὑπηρέται καὶ ἐζήτησαν, καὶ εὗρον ἑπτὰ
and went-away the attendants and sought and found seven
παρθένους. καὶ ἐμνήσθη ὁ ἱερεὺς τῆς παιδὸς Μαριάμ, ὅτι
virgins and remembered the priest the child Mariam that
ἦν ἐκ τῆς φυλῆς Δαυίδ, καὶ ἀμίαντος ἦν τῷ θεῷ.
she-was of the tribe of-David and undefiled she-was — to-God
καὶ ἀπῆλθον οἱ ὑπηρέται καὶ ἤγαγον αὐτήν. καὶ εἰσήγαγον
and went-away the attendants and brought her and they-led
αὐτὰς ἐν τῷ ναῷ κυρίου· καὶ εἶπεν ὁ ἱερεύς· λάχετέ μοι
them into the temple of-(the)-Lord and said the priest cast-lots for-me
τίς νήσει τὸ χρυσίον καὶ τὸ ἀμίαντον καὶ τὴν βύσσον
who shall-spin the gold and the undefiled(-white) and the fine-linen
καὶ τὸ σηρικὸν καὶ τὸ ὑακίνθινον καὶ τὸ κόκκινον καὶ τὴν
and the silk and the blue and the scarlet and the
ἀληθινὴν πορφύραν. καὶ ἔλαχεν τὴν Μαριὰμ ἡ ἀληθινὴ
true purple and fell-by-lot — (to)-Mariam the true
πορφύρα καὶ τὸ κόκκινον, καὶ λαβοῦσα ἀπίει εἰς
purple and the scarlet and having-taken(-them) she-went-away to
τὸν οἶκον αὐτῆς. τῷ δὲ καιρῷ ἐκείνῳ ἐσίγησεν Ζαχαρίας,
the house her in-the and time that fell-silent Zacharias

καὶ ἐγένετο ἀντ᾽ αὐτοῦ Σαμουήλ, μέχρις ὅτου ἐλάλησεν
and became in-place-of him Samuel until — spoke
Ζαχαρίας. Μαριὰμ δὲ λαβοῦσα τὸ κόκκινον ἔκλωθεν.
Zacharias Mariam and having-taken the scarlet spun(-it)
11 Καὶ ἔλαβεν τὴν κάλπην καὶ ἐξῆλθεν γεμίσαι ὕδωρ· καὶ
and she-took the pitcher and went-out to-fill water and
ἰδοὺ φωνὴ λέγουσα· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ
behold (a)-voice saying hail favored-one the Lord (is)-with
σοῦ, εὐλογημένη σὺ ἐν γυναιξίν. καὶ περιεβλέπετο
you blessed (are)-you among women and she-looked-around
δεξιὰ καὶ ἀριστερά, πόθεν αὕτη ἡ φωνή. καὶ σύντρομος
right and left whence (is)-this the voice and trembling
γενομένη ἀπίει εἰς τὸν οἶκον αὐτῆς καὶ ἀνέπαυσεν
having-become she-went-away to the house her and set-down
τὴν κάλπην, καὶ λαβοῦσα τὴν πορφύραν ἐκάθισεν ἐπὶ τοῦ
the pitcher and having-taken the purple sat on the
θρόνου αὐτῆς καὶ εἵλκεν αὐτήν. καὶ ἰδοὺ ἄγγελος κυρίου
seat her and drew it and behold (an)-angel of-(the)-Lord
ἔστη ἐνώπιον αὐτῆς λέγων· μὴ φοβοῦ, Μαριάμ· εὗρες
stood before her saying not fear Mariam you-have-found
γὰρ χάριν ἐνώπιον τοῦ πάντων δεσπότου, καὶ συλλήψῃ
for grace before the of-all master and you-shall-conceive
ἐκ λόγου αὐτοῦ. ἡ δὲ ἀκούσασα διεκρίθη ἐν ἑαυτῇ
from (the)-word his she and having-heard doubted in herself
λέγουσα· εἰ ἐγὼ συλλήψομαι ἀπὸ κυρίου θεοῦ ζῶντος,
saying whether I shall-conceive from (the)-Lord God living
καὶ γεννήσω ὡς πᾶσα γυνὴ γεννᾷ; καὶ εἶπεν ὁ ἄγγελος
and shall-bear as every woman bears and said the angel
κυρίου· οὐχ οὕτως, Μαριάμ· δύναμις γὰρ κυρίου
of-(the)-Lord not thus Mariam (the)-power for of-(the)-Lord
ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ
shall-overshadow you wherefore also the(-thing) being-born from you

ἅγιον κληθήσεται υἱὸς ὑψίστου. καὶ καλέσεις τὸ ὄνομα
holy shall-be-called son of-(the)-most-high and you-shall-call the name
αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν
his Jesus he for shall-save the people his from the
ἁμαρτιῶν αὐτῶν. καὶ εἶπεν Μαριάμ· ἰδοὺ ἡ δούλη κυρίου
sins their and said Mariam behold the handmaid of-(the)-Lord
κατενώπιον αὐτοῦ· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.
before him be-it to-me according-to the word your
Καὶ ἐποίησεν τὴν πορφύραν καὶ τὸ κόκκινον, καὶ ἀπήγαγεν 12
and she-made the purple and the scarlet and brought(-them)
τῷ ἱερεῖ. καὶ εὐλόγησεν αὐτὴν ὁ ἱερεὺς καὶ εἶπεν·
to-the priest and blessed her the priest and said
Μαριάμ, ἐμεγάλυνεν κύριος ὁ θεὸς τὸ ὄνομά σου, καὶ
Mariam has-magnified (the)-Lord — God the name your and
ἔσῃ εὐλογημένη ἐν πάσαις ταῖς γενεαῖς τῆς γῆς. χαρὰν
you-shall-be blessed in all the generations of-the earth joy
δὲ λαβοῦσα Μαριὰμ ἀπίει πρὸς Ἐλισάβετ τὴν συγγενίδα
and having-taken Mariam went-away to Elisabeth the kinswoman
αὐτῆς. καὶ ἔκρουσεν πρὸς τὴν θύραν. καὶ ἀκούσασα ἡ
her and knocked at the door and having-heard —
Ἐλισάβετ ἔρριψεν τὸ κόκκινον καὶ ἔδραμεν πρὸς τὴν θύραν
Elisabeth threw-down the scarlet and ran to the door
καὶ ἤνοιξεν, καὶ ἰδοῦσα τὴν Μαριὰμ εὐλόγησεν αὐτὴν
and opened and having-seen — Mariam blessed her
καὶ εἶπεν· πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ
and said whence (is)-to-me this that should-come the mother of-the
κυρίου μου πρός με; ἰδοὺ γὰρ τὸ ἐν ἐμοὶ ἐσκίρτησεν
Lord my to me behold for the(-thing) in me leaped
καὶ εὐλόγησέν σε. Μαριὰμ δὲ ἐπελάθετο τῶν μυστηρίων
and blessed you Mariam and forgot the mysteries
ὧν ἐλάλησεν αὐτῇ Γαβριὴλ ὁ ἀρχάγγελος, καὶ ἠτένισεν
which spoke to-her Gabriel the archangel and gazed

εἰς τὸν οὐρανὸν καὶ εἶπεν· τίς εἰμι ἐγώ, κύριε, ὅτι πᾶσαι
into the heaven and said who am I Lord that all
αἱ γενεαὶ τῆς γῆς εὐλογοῦσίν με; καὶ ἐποίησεν τρεῖς
the generations of-the earth bless me and she-spent three
μῆνας πρὸς τὴν Ἐλισάβετ. ἡμέρᾳ δὲ καὶ ἡμέρᾳ ἡ γαστὴρ
months with — Elisabeth day and by day the womb
αὐτῆς ὠγκοῦτο· καὶ φοβηθεῖσα Μαριὰμ ἀπῆλθεν εἰς τὸν
her swelled and having-feared Mariam went-away to the
οἶκον αὐτῆς, καὶ ἔκρυβεν ἑαυτὴν ἀπὸ τῶν υἱῶν Ἰσραήλ.
house her and hid herself from the sons of-Israel
ἦν δὲ ἐτῶν δέκα ἓξ ὅτε ταῦτα ἐγένετο τὰ μυστήρια.
she-was and of-years ten six when these happened the mysteries

II · THE PROTEVANGELIUM OF JAMES, 13–25

Joseph returns to find Mariam six months with child and grieves that Adam's story has been repeated in him; she swears she is pure, and an angel tells him in a dream that the child is from the Holy Spirit. The scribe Annas reports them, and both drink the priest's water of conviction and come back unharmed. On the way to Bethlehem for Augustus's census Mariam's time comes; Joseph leaves her in a cave and, seeking a midwife, sees the whole world stand still. A bright cloud covers the cave and the child appears; Salome, who doubts that a virgin has borne, tests Mariam, and her own hand falls away as if burned until she is healed by holding the child. The magi come and Herod orders the infants killed; Mariam hides the child in an ox manger, a mountain opens to shelter Elisabeth and John, and Zacharias is murdered at the temple's forecourts for not giving up his son. Symeon is chosen by lot in his place, and James, who wrote the history, ends it with a doxology.

13 Ἐγένετο δὲ αὐτῇ ἕκτος μήν, καὶ ἰδοὺ ἦλθεν Ἰωσὴφ ἀπὸ
came and to-her (the)-sixth month and behold came Joseph from
τῶν οἰκοδομῶν αὐτοῦ, καὶ εἰσελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ εὗρεν
the buildings his and having-entered into the house his found

αὐτὴν ὀγκωμένην. καὶ ἔτυψε τὸ πρόσωπον αὐτοῦ καὶ ἔρριψεν
her swollen and struck the face his and threw
ἑαυτὸν χαμαὶ ἐπὶ τὸν σάκκον, καὶ ἔκλαυσε πικρῶς λέγων·
himself on-the-ground upon the sackcloth and wept bitterly saying
ποίῳ προσώπῳ ἀτενίσω πρὸς κύριον τὸν θεόν μου; τί
with-what face shall-I-gaze toward (the)-Lord — God my what
δὲ εὔξομαι περὶ τῆς κόρης ταύτης; ὅτι παρθένον παρέλαβον
and shall-I-pray about the girl this for (a)-virgin I-received
αὐτὴν ἐκ ναοῦ κυρίου τοῦ θεοῦ μου, καὶ οὐκ ἐφύλαξα.
her from (the)-temple of-(the)-Lord — of-God my and not I-guarded(-her)
τίς ὁ θηρεύσας με; τίς τὸ πονηρὸν τοῦτο ἐποίησεν
who (is)-the(-one) having-hunted me who the evil this did
ἐν τῷ οἴκῳ μου καὶ ἐμίανεν τὴν παρθένον; μήτι εἰς
in the house my and defiled the virgin (is)-it-not-that in
ἐμὲ ἀνεκεφαλαιώθη ἡ ἱστορία τοῦ Ἀδάμ; ὥσπερ γὰρ ἐν τῇ
me was-summed-up the story — of-Adam as for in the
ὥρᾳ τῆς δοξολογίας αὐτοῦ ἦλθεν ὁ ὄφις καὶ εὗρε τὴν Εὔαν
hour of-the giving-of-glory his came the serpent and found — Eve
μόνην καὶ ἐξηπάτησεν, οὕτως κἀμοὶ ἐγένετο. καὶ ἀνέστη
alone and deceived(-her) thus to-me-too it-happened and rose-up
Ἰωσὴφ ἀπὸ τοῦ σάκκου, καὶ ἐκάλεσε τὴν Μαριὰμ καὶ εἶπεν
Joseph from the sackcloth and called — Mariam and said
αὐτῇ· μεμελημένη τῷ θεῷ, τί τοῦτο ἐποίησας; ἐπελάθου
to-her cared-for — by-God why this did-you-do have-you-forgotten
κυρίου τοῦ θεοῦ σου; τί ἐταπείνωσας τὴν ψυχήν σου, ἡ
(the)-Lord — God your why did-you-humble the soul your the(-one)
ἀνατραφεῖσα εἰς τὰ ἅγια τῶν ἁγίων καὶ τροφὴν λαβοῦσα
reared in the holy(-place) of-the holies and food having-received
ἐκ χειρὸς ἀγγέλου; ἡ δὲ ἔκλαυσεν πικρῶς, λέγουσα ὅτι
from (the)-hand of-(an)-angel she and wept bitterly saying —
καθαρά εἰμι ἐγὼ καὶ ἄνδρα οὐ γινώσκω. καὶ εἶπεν αὐτῇ
pure am I and (a)-man not I-know and said to-her

Ἰωσήφ· πόθεν οὖν ἐστὶ τὸ ἐν τῇ γαστρί σου; ἡ δὲ εἶπεν·
Joseph whence then is the(-thing) in the womb your she and said
ζῇ κύριος ὁ θεός μου καθότι οὐ γινώσκω πόθεν ἐστίν μοι.
lives (the)-Lord — God my that not I-know whence it-is to-me
14 Καὶ ἐφοβήθη Ἰωσὴφ σφόδρα, καὶ ἠρέμησεν ἐξ αὐτῆς, καὶ
and feared Joseph greatly and was-quiet from her and
διελογίζετο τὸ τί αὐτὴν ποιήσει. καὶ εἶπεν Ἰωσήφ· ἐὰν
pondered the what her he-should-do and said Joseph if
αὐτῆς κρύψω τὸ ἁμάρτημα, εὑρίσκομαι μαχόμενος τῷ
her I-hide the sin I-am-found fighting (against)-the
νόμῳ κυρίου· καὶ ἐὰν αὐτὴν φανερώσω τοῖς υἱοῖς Ἰσραήλ,
law of-(the)-Lord and if her I-reveal to-the sons of-Israel
φοβοῦμαι μήπως ἀγγελικόν ἐστιν τὸ ἐν αὐτῇ, καὶ
I-fear lest-perhaps angelic is the(-thing) in her and
εὑρεθήσομαι παραδιδοὺς αἷμα ἀθῷον εἰς κρίμα θανάτου.
I-shall-be-found handing-over blood innocent to (the)-judgment of-death
τί οὖν αὐτὴν ποιήσω; λάθρα αὐτὴν ἀπολύσω ἀπ᾽ ἐμοῦ. καὶ
what then her shall-I-do secretly her I-will-release from me and
κατέλαβεν αὐτὸν ἡ νύξ. καὶ ἰδοὺ ἄγγελος κυρίου φαίνεται
overtook him the night and behold (an)-angel of-(the)-Lord appears
αὐτῷ κατ᾽ ὄναρ λέγων· μὴ φοβηθῇς τὴν παῖδα ταύτην·
to-him in (a)-dream saying not fear the child this
τὸ γὰρ ἐν αὐτῇ ὂν ἐκ πνεύματός ἐστιν ἁγίου· τέξεται
the(-thing) for in her being from (the)-spirit is holy she-shall-bear
δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ
and (a)-son and you-shall-call the name his Jesus he for
σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. καὶ ἀνέστη
shall-save the people his from the sins their and rose-up
Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, καὶ ἐδόξασεν τὸν θεὸν Ἰσραὴλ τὸν
Joseph from the sleep and glorified — God of-Israel the(-one)
δόντα αὐτῷ τὴν χάριν ταύτην, καὶ ἐφύλασσεν αὐτήν.
having-given him the grace this and he-guarded her

ἦλθεν δὲ Ἄννας ὁ γραμματεὺς πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ· 15
came and Annas the scribe to him and said to-him
τί ὅτι οὐκ ἐφάνης ἐν τῇ συνόδῳ ἡμῶν; καὶ εἶπεν
why-(is-it) that not you-appeared in the assembly our and said
αὐτῷ Ἰωσήφ· ὅτι ἔκαμον ἀπὸ τῆς ὁδοῦ, καὶ ἀνεπαυσάμην
to-him Joseph that I-was-weary from the journey and I-rested
τὴν πρώτην ἡμέραν. καὶ ἐστράφη καὶ εἶδεν τὴν Μαριὰμ
the first day and he-turned and saw — Mariam
ὀγκωμένην. καὶ ἀπίει δρομαῖος πρὸς τὸν ἱερέα καὶ εἶπεν
swollen and went running to the priest and said
αὐτῷ· Ἰωσήφ, ὃν σὺ μαρτυρεῖς, ἠνόμησεν σφόδρα. καὶ
to-him Joseph whom you testify-for has-transgressed greatly and
εἶπεν ὁ ἱερεύς· τί τοῦτο; καὶ εἶπεν· τὴν παρθένον ἣν
said the priest what (is)-this and he-said the virgin whom
παρέλαβεν ἐκ ναοῦ κυρίου, ἐμίανεν αὐτήν, καὶ ἔκλεψεν
he-received from (the)-temple of-(the)-Lord he-has-defiled her and has-stolen
τοὺς γάμους αὐτῆς, καὶ οὐκ ἐφανέρωσεν τοῖς υἱοῖς Ἰσραήλ.
the marriage her and not revealed(-it) to-the sons of-Israel
καὶ ἀποκριθεὶς ὁ ἱερεὺς εἶπεν· Ἰωσὴφ τοῦτο ἐποίησεν;
and answering the priest said Joseph this did
καὶ εἶπεν Ἄννας ὁ γραμματεύς· ἀπόστειλον ὑπηρέτας, καὶ
and said Annas the scribe send attendants and
εὑρήσεις τὴν παρθένον ὀγκωμένην. καὶ ἀπῆλθον οἱ ὑπηρέται
you-will-find the virgin swollen and went-away the attendants
καὶ εὗρον καθὼς εἶπεν, καὶ ἀπήγαγον αὐτὴν ἅμα
and found(-her) as he-said and brought her together-with
τῷ Ἰωσὴφ εἰς τὸ κριτήριον. καὶ εἶπεν ὁ ἱερεύς· Μαρία,
— Joseph to the court and said the priest Mary
τί τοῦτο ἐποίησας; καὶ ἱνατί ἐταπείνωσας τὴν ψυχήν σου
why this did-you-do and why did-you-humble the soul your
καὶ ἐπελάθου κυρίου τοῦ θεοῦ σου; ἡ ἀνατραφεῖσα εἰς
and did-you-forget (the)-Lord — God your the(-one) reared in

τὰ ἅγια τῶν ἁγίων καὶ λαβοῦσα τροφὴν ἐκ χειρὸς
the holy(-place) of-the holies and having-received food from (the)-hand
ἀγγέλου καὶ ἀκούσασα τῶν ὕμνων καὶ χορεύσασα ἐνώπιον
of-(an)-angel and having-heard the hymns and having-danced before
αὐτοῦ, τί τοῦτο ἐποίησας; ἡ δὲ ἔκλαυσεν πικρῶς λέγουσα·
him why this did-you-do she and wept bitterly saying
ζῇ κύριος ὁ θεός μου καθότι καθαρά εἰμι ἐνώπιον αὐτοῦ
lives (the)-Lord — God my that pure I-am before him
καὶ ἄνδρα οὐ γινώσκω. καὶ εἶπεν ὁ ἱερεὺς πρὸς Ἰωσήφ·
and (a)-man not I-know and said the priest to Joseph
τί τοῦτο ἐποίησας; καὶ εἶπεν Ἰωσήφ· ζῇ κύριος ὁ θεός
why this did-you-do and said Joseph lives (the)-Lord — God
μου καθότι καθαρός εἰμι ἐγὼ ἐξ αὐτῆς. καὶ εἶπεν ὁ
my that pure am I from her and said the
ἱερεύς· μὴ ψευδομαρτύρει ἀλλὰ λέγε τὸ ἀληθές· ἔκλεψας
priest not bear-false-witness but tell the truth you-stole
τοὺς γάμους αὐτῆς καὶ οὐκ ἐφανέρωσας τοῖς υἱοῖς Ἰσραήλ,
the marriage her and not you-revealed(-it) to-the sons of-Israel
καὶ οὐκ ἔκλινας τὴν κεφαλήν σου ὑπὸ τὴν κραταιὰν χεῖρα
and not you-bowed the head your under the mighty hand
ὅπως εὐλογηθῇ τὸ σπέρμα σου. καὶ Ἰωσὴφ ἐσίγησεν.
so-that might-be-blessed the seed your and Joseph was-silent

16 Καὶ εἶπεν ὁ ἱερεύς· ἀπόδος τὴν παρθένον ἣν παρέλαβες
and said the priest give-back the virgin whom you-received
ἐκ ναοῦ κυρίου. καὶ περίδακρυς ἐγένετο Ἰωσήφ. καὶ
from (the)-temple of-(the)-Lord and in-tears became Joseph and
εἶπεν ὁ ἱερεύς· ποτιῶ ὑμᾶς τὸ ὕδωρ τῆς ἐλέγξεως
said the priest I-will-give-to-drink you the water of-the conviction
κυρίου, καὶ φανερώσει τὰ ἁμαρτήματα ὑμῶν ἐν ὀφθαλμοῖς
of-(the)-Lord and it-will-reveal the sins your in (the)-eyes
ὑμῶν. καὶ λαβὼν ὁ ἱερεὺς ἐπότισεν τὸν Ἰωσήφ, καὶ
your and having-taken(-it) the priest gave-to-drink — Joseph and

ἔπεμψεν αὐτὸν εἰς τὴν ὀρεινήν· καὶ ἦλθεν ὁλόκληρος.
sent him into the hill-country and he-came whole
ἐπότισεν δὲ καὶ τὴν Μαριάμ, καὶ ἔπεμψεν αὐτὴν εἰς
gave-to-drink and also — Mariam and sent her into
τὴν ὀρεινήν· καὶ ἦλθεν ὁλόκληρος. καὶ ἐθαύμασεν πᾶς
the hill-country and she-came whole and marveled all
ὁ λαὸς ὅτι ἁμαρτία οὐκ ἐφάνη ἐν αὐτοῖς. καὶ εἶπεν ὁ
the people that sin not appeared in them and said the
ἱερεύς· εἰ κύριος ὁ θεὸς οὐκ ἐφανέρωσε τὰ ἁμαρτήματα
priest if (the)-Lord — God not revealed the sins
ὑμῶν, οὐδὲ ἐγὼ κρίνω ὑμᾶς. καὶ ἀπέλυσεν αὐτούς. καὶ
your neither I judge you and released them and
παρέλαβεν Ἰωσὴφ τὴν Μαριάμ, καὶ ἀπίει εἰς τὸν οἶκον
took Joseph — Mariam and went to the house
αὐτοῦ χαίρων καὶ δοξάζων τὸν θεὸν τοῦ Ἰσραήλ.
his rejoicing and glorifying — God — of-Israel
Κέλευσις δὲ ἐγένετο ἀπὸ Αὐγούστου βασιλέως ἀπογράφεσθαι 17
(an)-order and came from Augustus (the)-king to-be-enrolled
πάντας τοὺς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. καὶ εἶπεν Ἰωσήφ·
all the(-ones) in Bethlehem — of-Judea and said Joseph
ἐγὼ ἀπογράψομαι τοὺς υἱούς μου· ταύτην δὲ τὴν παῖδα
I will-enroll the sons my this and the child
τί ποιήσω; πῶς αὐτὴν ἀπογράψομαι; γυναῖκα ἐμήν;
what shall-I-do how her shall-I-enroll (as)-wife my
αἰσχύνομαι. ἀλλὰ θυγατέρα; ἀλλ' οἴδασιν πάντες οἱ υἱοὶ
I-am-ashamed but (as)-daughter but know all the sons
Ἰσραὴλ ὅτι οὐκ ἔστι μου θυγάτηρ. αὐτὴ ἡ ἡμέρα κυρίου
of-Israel that not is my daughter the-very the day of-(the)-Lord
ποιήσει ὡς βούλεται κύριος. καὶ ἐπέστρωσεν τὴν ὄνον καὶ
will-do as wills (the)-Lord and he-saddled the ass and
ἐπεκάθισεν αὐτήν, καὶ εἷλκεν ὁ υἱὸς αὐτοῦ, καὶ ἠκολούθει
set her(-on-it) and led(-it) the son his and followed

Ἰωσήφ. καὶ ἤγγισαν ἐπὶ μιλίων τριῶν· καὶ ἐστράφη
Joseph and they-drew-near to miles three and turned
Ἰωσήφ, καὶ εἶδεν αὐτὴν στυγνήν, καὶ εἶπεν ἐν ἑαυτῷ·
Joseph and saw her sad and said in himself
ἴσως τὸ ἐν αὐτῇ χειμάζει αὐτήν. καὶ πάλιν ἐστράφη
perhaps the(-thing) in her troubles her and again turned
Ἰωσήφ, καὶ εἶδεν αὐτὴν γελῶσαν. καὶ εἶπεν αὐτῇ· Μαρία,
Joseph and saw her laughing and said to-her Mary
τί σοί ἐστιν τοῦτο, ὅτι τὸ πρόσωπόν σου βλέπω ποτὲ
what to-you is this that the face your I-see at-one-time
μὲν γελῶν, ποτὲ δὲ στυγνάζον. καὶ εἶπε
on-the-one-hand laughing at-another on-the-other sad and said
Μαριὰμ τῷ Ἰωσήφ· ὅτι δύο λαοὺς βλέπω τοῖς ὀφθαλμοῖς
Mariam — to-Joseph that two peoples I-see with-the eyes
μου, ἕνα κλαίοντα καὶ κοπτόμενον, καὶ ἕνα χαίροντα καὶ
my one weeping and mourning and one rejoicing and
ἀγαλλιώμενον. καὶ ἦλθον ἐν τῇ μέσῃ ὁδῷ, καὶ εἶπεν
exulting and they-came into the middle(-of-the) way and said
αὐτῷ Μαριάμ· κατάγαγέ με ἀπὸ τῆς ὄνου, ὅτι τὸ
to-him Mariam take-down me from the ass for the(-thing)
ἐν ἐμοὶ ἐπείγει με προελθεῖν. καὶ κατήγαγεν αὐτὴν ἀπὸ
in me presses me to-come-forth and he-took-down her from
τῆς ὄνου, καὶ εἶπεν αὐτῇ· ποῦ σε ἀπάξω καὶ σκεπάσω
the ass and said to-her where you shall-I-take and cover
σου τὴν ἀσχημοσύνην; ὅτι ὁ τόπος ἔρημός ἐστιν.
your the shame for the place desert is
18 Καὶ εὗρεν σπήλαιον ἐκεῖ καὶ εἰσήγαγεν αὐτήν, καὶ
and he-found (a)-cave there and led-in her and
παρέστησεν αὐτῇ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐξελθὼν ἐζήτει
set-beside her the sons his and having-gone-out sought
μαῖαν Ἑβραίαν ἐν χώρᾳ Βηθλεέμ. Ἐγὼ δὲ Ἰωσὴφ
(a)-midwife Hebrew in (the)-country of-Bethlehem I and Joseph

περιεπάτουν, καὶ οὐ περιεπάτουν· καὶ ἀνέβλεψα εἰς τὸν ἀέρα,
was-walking and not was-walking and I-looked-up into the air
καὶ εἶδον τὸν ἀέρα ἔκθαμβον· καὶ ἀνέβλεψα εἰς τὸν πόλον τοῦ
and saw the air astonished and I-looked-up into the vault of-the
οὐρανοῦ, καὶ εἶδον αὐτὸν ἑστῶτα καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
heaven and saw it standing-still and the birds of-the heaven
ἠρεμοῦντα· καὶ ἐπέβλεψα ἐπὶ τὴν γῆν, καὶ εἶδον σκάφην
at-rest and I-looked upon the earth and saw (a)-trough
κειμένην καὶ ἐργάτας ἀνακειμένους, καὶ αἱ χεῖρες αὐτῶν ἐν
lying and workmen reclining and the hands their in
τῇ σκάφῃ· καὶ οἱ μασσώμενοι οὐκ ἐμασσῶντο, καὶ οἱ
the trough and the(-ones) chewing not chewed and the(-ones)
αἴροντες οὐκ ἀνέφερον, καὶ οἱ προσφέροντες τῷ στόματι
lifting not raised(-it) and the(-ones) bringing(-it) to-the mouth
αὐτῶν οὐ προσέφερον, ἀλλὰ πάντων ἦν τὰ πρόσωπα
their not brought(-it) but of-all were the faces
ἄνω βλέποντα· καὶ ἰδοὺ πρόβατα ἐλαυνόμενα ἦν, καὶ οὐ
upward looking and behold sheep being-driven were and not
προέβαινον ἀλλ' ἵσταντο, καὶ ἐπῆρεν ὁ ποιμὴν τὴν χεῖρα
went-forward but stood and raised the shepherd the hand
αὐτοῦ τοῦ πατάξαι αὐτὰ ἐν τῇ ῥάβδῳ, καὶ ἡ χεὶρ αὐτοῦ
his of-the to-strike them with the staff and the hand his
ἔστη ἄνω· καὶ ἐπέβλεψα ἐπὶ τὸν χείμαρρον τοῦ ποταμοῦ, καὶ
stood above and I-looked upon the torrent of-the river and
εἶδον τὰ στόματα τῶν ἐρίφων ἐπικείμενα καὶ μὴ πίνοντα,
saw the mouths of-the kids laid(-upon-it) and not drinking
καὶ πάντα ὑπὸ θῆξιν τῷ δρόμῳ αὐτῶν ἀπηλαύνοντο.
and all(-things) under (a)-stroke in-the course their were-driven-on
Καὶ ἰδοὺ γυνὴ καταβαίνουσα ἀπὸ τῆς ὀρεινῆς, καὶ 19
and behold (a)-woman coming-down from the hill-country and
εἶπέν μοι· ἄνθρωπε, ποῦ πορεύῃ; καὶ εἶπον· μαῖαν ζητῶ
said to-me man where are-you-going and I-said (a)-midwife I-seek

Ἑβραίαν. καὶ ἀποκριθεῖσα εἶπέν μοι· ἐξ Ἰσραὴλ εἶ; καὶ
Hebrew and answering she-said to-me of Israel are-you and
εἶπον αὐτῇ· ναί. ἡ δὲ εἶπεν· καὶ τίς ἐστιν ἡ γεννῶσα
I-said to-her yes she and said and who is the(-one) giving-birth
ἐν τῷ σπηλαίῳ; καὶ εἶπον ἐγώ· ἡ μεμνηστευμένη
in the cave and I-said I the(-one) betrothed
μοι. καὶ εἶπέ μοι· οὐκ ἔστιν σου γυνή; καὶ εἶπον αὐτῇ·
to-me and she-said to-me not is-she your wife and I-said to-her
Μαριάμ ἐστιν ἡ ἀνατραφεῖσα ἐν τῷ ναῷ κυρίου,
Mariam it-is the(-one) reared in the temple of-(the)-Lord
καὶ ἐκληρωσάμην αὐτὴν γυναῖκα· καὶ οὐκ ἔστιν μου γυνή,
and I-obtained-by-lot her (as)-wife and not she-is my wife
ἀλλὰ σύλληψιν ἔχει ἐκ πνεύματος ἁγίου. καὶ εἶπεν αὐτῷ
but conception she-has from (the)-spirit holy and said to-him
ἡ μαῖα· τοῦτο ἀληθές; καὶ εἶπεν αὐτῇ Ἰωσήφ· δεῦρο καὶ
the midwife (is)-this true and said to-her Joseph come and
ἴδε. καὶ ἀπίει ἡ μαῖα μετ᾽ αὐτοῦ. καὶ ἔστησαν ἐν τῷ
see and went the midwife with him and they-stood in the
τόπῳ τοῦ σπηλαίου, καὶ ἰδοὺ νεφέλη φωτεινὴ ἐπισκιάζουσα
place of-the cave and behold (a)-cloud bright overshadowing
τὸ σπήλαιον. καὶ εἶπεν ἡ μαῖα· ἐμεγαλύνθη ἡ ψυχή
the cave and said the midwife is-magnified the soul
μου σήμερον, ὅτι εἶδον οἱ ὀφθαλμοί μου παράδοξα, ὅτι
my today for saw the eyes my wonders for
σωτηρία τῷ Ἰσραὴλ ἐγεννήθη. καὶ παραχρῆμα ἡ νεφέλη
salvation — for-Israel was-born and immediately the cloud
ὑπεστέλλετο ἐκ τοῦ σπηλαίου, καὶ ἐφάνη φῶς μέγα ἐν
withdrew from the cave and appeared (a)-light great in
τῷ σπηλαίῳ, ὥστε τοὺς ὀφθαλμοὺς ἡμῶν μὴ φέρειν. καὶ
the cave so-that the eyes our not to-bear(-it) and
πρὸς ὀλίγον τὸ φῶς ἐκεῖνο ὑπεστέλλετο, ἕως οὗ ἐφάνη τὸ
for (a)-little the light that withdrew until — appeared the

βρέφος καὶ ἦλθε καὶ ἔλαβε μασθὸν ἐκ τῆς μητρὸς αὐτοῦ
babe and it-came and took (the)-breast from the mother its
Μαρίας. καὶ ἀνεβόησεν ἡ μαῖα καὶ εἶπεν· μεγάλη μοι
Mary and cried-out the midwife and said great for-me
σήμερον ἡ ἡμέρα αὕτη, ὅτι εἶδον τὸ καινὸν θέαμα τοῦτο.
today (is)-the day this for I-saw the new sight this
καὶ ἐξῆλθεν ἡ μαῖα ἐκ τοῦ σπηλαίου, καὶ ὑπήντησεν
and went-out the midwife from the cave and met
αὐτῇ Σαλώμη. καὶ εἶπεν αὐτῇ· Σαλώμη Σαλώμη, καινόν
her Salome and she-said to-her Salome Salome (a)-new
σοι θέαμα ἔχω διηγήσασθαι· παρθένος ἐγέννησεν ὃ οὐ
to-you sight I-have to-tell (a)-virgin has-given-birth which not
χωρεῖ ἡ φύσις αὐτῆς. καὶ εἶπεν Σαλώμη· ζῇ κύριος ὁ
admits the nature her and said Salome lives (the)-Lord —
θεός μου, ἐὰν μὴ βαλῶ τὸν δάκτυλόν μου καὶ ἐρευνήσω
God my if not I-put the finger my and examine
τὴν φύσιν αὐτῆς, οὐ μὴ πιστεύσω ὅτι παρθένος ἐγέννησεν.
the nature her not — I-will-believe that (a)-virgin has-given-birth
Καὶ εἰσῆλθεν ἡ μαῖα καὶ εἶπε τῇ Μαριάμ· σχημάτισον 20
and went-in the midwife and said — to-Mariam compose
σεαυτήν· οὐ γὰρ μικρὸς ἀγὼν περίκειται περὶ σοῦ. καὶ
yourself not for (a)-small contest lies-about concerning you and
ἔβαλε Σαλώμη τὸν δάκτυλον αὐτῆς εἰς τὴν φύσιν αὐτῆς,
put Salome the finger her into the nature her
καὶ ἠλάλαξε καὶ εἶπεν· οὐαὶ τῇ ἀνομίᾳ μου καὶ τῇ ἀπιστίᾳ
and cried-aloud and said woe for-the lawlessness my and the unbelief
μου, ὅτι ἐξεπείρασα θεὸν ζῶντα, καὶ ἰδοὺ ἡ χείρ μου πυρὶ
my for I-tempted God living and behold the hand my by-fire
ἀποπίπτεται ἀπ᾽ ἐμοῦ. καὶ ἔκλινεν τὰ γόνατα αὐτῆς πρὸς
falls-away from me and she-bent the knees her to
τὸν δεσπότην λέγουσα· ὁ θεὸς τῶν πατέρων μου, μνήσθητί
the master saying — God of-the fathers my remember

μου ὅτι σπέρμα εἰμὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· μὴ
me for (the)-seed I-am of-Abraham and Isaac and Jacob not
παραδειγματίσῃς με τοῖς υἱοῖς Ἰσραήλ, ἀλλὰ ἀπόδος με τοῖς
make-an-example-of me to-the sons of-Israel but give-back me to-the
πένησιν· σὺ γὰρ οἶδας, δέσποτα, ὅτι ἐπὶ τῷ σῷ ὀνόματι
poor you for know master that in the your name
τὰς θεραπείας μου ἐπετέλουν καὶ τὸν μισθόν μου παρὰ σοῦ
the healings my I-performed and the wage my from you
ἐλάμβανον. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη λέγων πρὸς
I-received and behold (an)-angel of-(the)-Lord stood-by saying to
αὐτήν· Σαλώμη Σαλώμη, ἐπήκουσέν σου κύριος· προσένεγκε
her Salome Salome has-heard you (the)-Lord bring-near
τὴν χεῖρά σου τῷ παιδίῳ καὶ βάστασον αὐτό, καὶ ἔσται
the hand your to-the child and carry it and (there)-shall-be
σοι σωτηρία καὶ χαρά. καὶ προσῆλθε Σαλώμη καὶ
for-you salvation and joy and came-near Salome and
ἐβάστασεν αὐτό, λέγουσα· προσκυνήσω αὐτῷ, ὅτι βασιλεὺς
carried it saying I-will-worship him for (a)-king
ἐγεννήθη μέγας τῷ Ἰσραήλ. καὶ ἰδοὺ εὐθέως ἰάθη
was-born great — for-Israel and behold immediately was-healed
Σαλώμη, καὶ ἐξῆλθεν ἐκ τοῦ σπηλαίου δεδικαιωμένη. καὶ
Salome and went-out from the cave justified and
ἰδοὺ φωνὴ λέγουσα· Σαλώμη Σαλώμη, μὴ ἀναγγείλῃς ὅσα
behold (a)-voice saying Salome Salome not announce what-things
εἶδες παράδοξα, ἕως οὗ εἰσέλθῃ εἰς Ἱερουσαλὴμ ὁ παῖς.
you-saw wonders until — come into Jerusalem the child
21 Καὶ ἰδοὺ Ἰωσὴφ ἡτοιμάσθη τοῦ ἐξελθεῖν εἰς τὴν Ἰουδαίαν.
and behold Joseph made-ready of-the to-go-out into — Judea
καὶ θόρυβος ἐγένετο μέγας ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· ἦλθον
and (an)-uproar arose great in Bethlehem — of-Judea came
γὰρ μάγοι λέγοντες· ποῦ ἐστὶν ὁ τεχθεὶς βασιλεὺς τῶν
for magi saying where is the born king of-the

Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ,
Jews we-saw for his the star in the east
καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν. καὶ ἀκούσας Ἡρώδης
and we-came to-worship him and having-heard Herod
ἐταράχθη, καὶ ἔπεμψεν ὑπηρέτας πρὸς τοὺς μάγους· καὶ
was-troubled and sent attendants to the magi and
μετεπέμψατο τοὺς ἀρχιερεῖς καὶ ἀνέκρινεν αὐτοὺς λέγων·
summoned the high-priests and questioned them saying
πῶς γέγραπται περὶ τοῦ Χριστοῦ, ποῦ γεννᾶται; λέγουσιν
how is-it-written about — Christ where is-he-born they-say
αὐτῷ· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτως γὰρ γέγραπται. καὶ
to-him in Bethlehem — of-Judea thus for it-is-written and
ἀπέλυσεν αὐτούς. καὶ ἀνέκρινε τοὺς μάγους λέγων αὐτοῖς·
he-released them and questioned the magi saying to-them
τί εἴδετε σημεῖον ἐπὶ τὸν γεννηθέντα βασιλέα; καὶ εἶπον
what did-you-see (as-a)-sign over the born king and said
οἱ μάγοι· εἴδομεν ἀστέρα παμμεγέθη λάμψαντα ἐν τοῖς
the magi we-saw (a)-star very-great shining among the
ἄστροις τούτοις καὶ ἀμβλύνοντα αὐτούς, ὥστε τοὺς ἀστέρας
stars these and dimming them so-that the stars
μὴ φαίνεσθαι· καὶ ἡμεῖς οὕτως ἔγνωμεν ὅτι βασιλεὺς
not to-appear and we thus knew that (a)-king
ἐγεννήθη τῷ Ἰσραήλ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν.
was-born — for-Israel and we-came to-worship him
καὶ εἶπεν Ἡρώδης· ὑπάγετε καὶ ζητήσατε· καὶ ἐὰν εὕρητε,
and said Herod go and seek and if you-find
ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτόν.
report to-me that I-too having-come may-worship him
καὶ ἐξῆλθον οἱ μάγοι. καὶ ἰδοὺ ὃν εἶδον ἀστέρα ἐν τῇ
and went-out the magi and behold which they-saw (the)-star in the
ἀνατολῇ προῆγεν αὐτοὺς ἕως εἰσῆλθον εἰς τὸ σπήλαιον, καὶ
east went-before them until they-entered into the cave and

ἔστη ἐπὶ τὴν κεφαλὴν τοῦ σπηλαίου. καὶ εἶδον οἱ μάγοι τὸ
it-stood over the head of-the cave and saw the magi the
παιδίον μετὰ τῆς μητρὸς αὐτοῦ Μαρίας, καὶ ἐξέβαλον ἀπὸ
child with the mother his Mary and they-brought-out from
τῆς πήρας αὐτῶν δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν.
the bag their gifts gold and frankincense and myrrh
καὶ χρηματισθέντες ὑπὸ τοῦ ἀγγέλου μὴ εἰσελθεῖν εἰς τὴν
and having-been-warned by the angel not to-go into —
Ἰουδαίαν, δι' ἄλλης ὁδοῦ ἐπορεύθησαν εἰς τὴν χώραν αὐτῶν.
Judea by another way they-went into the country their
22 Γνοὺς δὲ Ἡρώδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων,
having-learned and Herod that he-was-mocked by the magi
ὀργισθεὶς ἔπεμψεν φονευτὰς λέγων αὐτοῖς· τὰ βρέφη
being-angered sent murderers saying to-them the babes
ἀπὸ διετοῦς καὶ κατωτέρω ἀποκτείνατε. καὶ ἀκούσασα
from two-years-old and under kill and having-heard
Μαριὰμ ὅτι ἀναιροῦνται τὰ βρέφη, φοβηθεῖσα ἔλαβεν τὸ
Mariam that were-being-killed the babes having-feared took the
παιδίον καὶ ἐσπαργάνωσεν αὐτὸ καὶ ἔθηκεν ἐν φάτνῃ
child and swaddled it and put(-it) in (a)-manger
βοῶν. ἡ δὲ Ἐλισάβετ, ἀκούσασα ὅτι Ἰωάννης ζητεῖται,
of-oxen — and Elisabeth having-heard that John was-being-sought
λαβοῦσα αὐτὸν ἀνέβη εἰς τὴν ὀρεινήν, καὶ περιεβλέπετο
having-taken him went-up into the hill-country and looked-around
ποῦ αὐτὸν κρύψει· καὶ οὐκ ἦν τόπος ἀποκρυφῆς. καὶ
where him she-should-hide and not was (a)-place of-hiding and
στενάξασα ἡ Ἐλισάβετ φωνῇ μεγάλῃ λέγει· ὄρος
having-groaned — Elisabeth with-(a)-voice loud says mountain
θεοῦ, δέξαι μητέρα μετὰ τέκνου. οὐ γὰρ ἠδύνατο ἀναβῆναι
of-God receive (a)-mother with (a)-child not for was-able to-go-up
ἡ Ἐλισάβετ. καὶ παραχρῆμα ἐδιχάσθη τὸ ὄρος καὶ
— Elisabeth and immediately was-split the mountain and

ἐδέξατο αὐτήν. καὶ ἦν διαφαῖνον αὐτοῖς φῶς· ἄγγελος
received her and was shining-through for-them (a)-light (an)-angel
γὰρ κυρίου ἦν μετ᾽ αὐτῶν, διαφυλάσσων αὐτούς.
for of-(the)-Lord was with them guarding them
Ὁ δὲ Ἡρώδης ἐζήτει τὸν Ἰωάννην, καὶ ἀπέστειλεν 23
— and Herod sought — John and sent
ὑπηρέτας πρὸς Ζαχαρίαν λέγων· ποῦ ἀπέκρυψας τὸν
attendants to Zacharias saying where did-you-hide the
υἱόν σου; ὁ δὲ ἀπεκρίνατο λέγων αὐτοῖς· ἐγὼ λειτουργὸς
son your he and answered saying to-them I (a)-minister
ὑπάρχω τοῦ θεοῦ καὶ προσεδρεύω τῷ ναῷ κυρίου, οὐκ
am — of-God and I-wait-upon the temple of-(the)-Lord not
οἶδα ποῦ ἐστὶν ὁ υἱός μου. καὶ ἀπῆλθον οἱ ὑπηρέται καὶ
I-know where is the son my and went-away the attendants and
ἀνήγγειλαν τῷ Ἡρώδῃ ταῦτα πάντα. καὶ ὀργισθεὶς ὁ
reported — to-Herod these(-things) all and being-angered —
Ἡρώδης εἶπεν· ὁ υἱὸς αὐτοῦ μέλλει βασιλεύειν τοῦ Ἰσραήλ.
Herod said the son his is-about to-be-king — over-Israel
καὶ ἀπέστειλεν πρὸς αὐτὸν πάλιν λέγων· εἰπὲ τὸ ἀληθές·
and he-sent to him again saying tell the truth
ποῦ ἐστὶν ὁ υἱός σου; οἶδας γὰρ ὅτι τὸ αἷμά σου ὑπὸ τὴν
where is the son your you-know for that the blood your under the
χεῖρά μου ἐστίν. καὶ ἀπῆλθον οἱ ὑπηρέται καὶ ἀπήγγειλαν
hand my is and went-away the attendants and reported
αὐτῷ ταῦτα πάντα. καὶ εἶπε Ζαχαρίας· μάρτυς εἰμὶ
to-him these(-things) all and said Zacharias (a)-martyr I-am
τοῦ θεοῦ, εἰ ἐκχέεις μου τὸ αἷμα· τὸ γὰρ πνεῦμά μου ὁ
— of-God if you-shed my the blood the for spirit my the
δεσπότης δέξεται, ὅτι αἷμα ἀθῷον ἐκχέεις εἰς τὰ πρόθυρα
master will-receive for blood innocent you-shed at the forecourts

τοῦ ναοῦ κυρίου. καὶ περὶ τὸ διάφαυμα ἐφονεύθη
of-the temple of-(the)-Lord and about the daybreak was-murdered
Ζαχαρίας. καὶ οὐκ ᾔδεισαν οἱ υἱοὶ Ἰσραὴλ ὅτι ἐφονεύθη.
Zacharias and not knew the sons of-Israel that he-was-murdered
24 Ἀλλὰ ἀπῆλθον οἱ ἱερεῖς εἰς τὴν ὥραν τοῦ ἀσπασμοῦ, καὶ
but went-away the priests at the hour of-the greeting and
οὐκ ἀπήντησεν αὐτοῖς κατὰ τὸ ἔθος ἡ εὐλογία τοῦ
not met them according-to the custom the blessing —
Ζαχαρίου. καὶ ἔστησαν οἱ ἱερεῖς προσδοκῶντες τὸν Ζαχαρίαν
of-Zacharias and stood the priests awaiting — Zacharias
τοῦ ἀσπάσασθαι αὐτὸν ἐν τῇ εὐχῇ καὶ δοξάσαι τὸν ὕψιστον.
of-the to-greet him in the prayer and to-glorify the most-high
χρονίσαντος δὲ αὐτοῦ ἐφοβήθησαν ἅπαντες· ἀποτολμήσας δὲ
having-delayed and he feared all having-ventured and
εἷς ἐξ αὐτῶν εἰσῆλθεν, καὶ εἶδε παρὰ τὸ θυσιαστήριον αἷμα
one of them went-in and saw beside the altar blood
πεπηγὸς καὶ φωνὴν λέγουσαν· Ζαχαρίας πεφόνευται, καὶ οὐκ
congealed and (a)-voice saying Zacharias has-been-murdered and not
ἐξαλειφθήσεται τὸ αἷμα αὐτοῦ ἕως ἂν ἔλθῃ ὁ ἔκδικος αὐτοῦ.
shall-be-wiped-out the blood his until — come the avenger his
καὶ ἀκούσας τὸν λόγον ἐφοβήθη, καὶ ἐξῆλθε καὶ ἀνήγγειλε
and having-heard the word he-feared and went-out and reported(-it)
τοῖς ἱερεῦσιν. καὶ τολμήσαντες εἰσῆλθον καὶ εἶδον τὸ
to-the priests and having-dared they-went-in and saw the(-thing)
γεγονός, καὶ τὰ φατνώματα τοῦ ναοῦ ὀλόλυξαν, καὶ αὐτοὶ
having-happened and the panels of-the temple howled and they
περιεσχίσαντο ἀπὸ ἄνωθεν ἕως κάτω. καὶ τὸ σῶμα αὐτοῦ
were-rent-round from above to below and the body his
οὐχ εὗρον, ἀλλ᾽ εὗρον τὸ αἷμα αὐτοῦ λίθον γεγενημένον.
not they-found but they-found the blood his stone become
καὶ φοβηθέντες ἐξῆλθον καὶ ἀνήγγειλαν παντὶ τῷ λαῷ ὅτι
and having-feared they-went-out and reported to-all the people that

Ζαχαρίας πεφόνευται. καὶ ἤκουσαν πᾶσαι αἱ φυλαὶ τοῦ λαοῦ,
Zacharias has-been-murdered and heard(-it) all the tribes of-the people
καὶ ἐπένθησαν αὐτὸν καὶ ἐκόψαντο τρεῖς ἡμέρας καὶ τρεῖς
and mourned him and lamented three days and three
νύκτας. μετὰ δὲ τὰς τρεῖς ἡμέρας ἐβουλεύσαντο οἱ ἱερεῖς τίνα
nights after and the three days took-counsel the priests whom
ἀντ᾽ αὐτοῦ στήσουσιν, καὶ ἀνέβη ὁ κλῆρος ἐπὶ Συμεών·
in-place-of him they-should-set and went-up the lot upon Symeon
οὗτος γὰρ ἦν ὁ χρηματισθεὶς ὑπὸ τοῦ ἁγίου πνεύματος,
this(-one) for was the(-one) warned by the holy spirit
μὴ ἰδεῖν θάνατον ἕως ἂν ἴδῃ τὸν Χριστὸν ἐν σαρκί.
not to-see death until — he-see — Christ in (the)-flesh
Ἐγὼ δὲ Ἰάκωβος ὁ γράψας τὴν ἱστορίαν ταύτην ἐν 25
I and James the(-one) having-written the history this in
Ἱερουσαλήμ, θορύβου γενομένου, ὅτε ἐτελεύτησεν Ἡρώδης,
Jerusalem (an)-uproar having-arisen when died Herod
συνέστειλα ἐμαυτὸν ἐν τῇ ἐρήμῳ ἕως κατέπαυσεν ὁ
withdrew myself into the desert until ceased the
θόρυβος ἐν Ἱερουσαλήμ, δοξάζων τὸν δεσπότην θεὸν τὸν
uproar in Jerusalem glorifying the master God the(-one)
δόντα μοι τὴν δωρεὰν καὶ τὴν σοφίαν τοῦ γράψαι
having-given me the gift and the wisdom of-the to-write
τὴν ἱστορίαν ταύτην. Ἔσται δὲ ἡ χάρις μετὰ τῶν
the history this shall-be and the grace with the(-ones)
φοβουμένων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ
fearing the Lord our Jesus Christ to-whom-(be)
ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
the glory to the ages of-the ages amen

ANONYMOUS

ΘΩΜΑ ΙΣΡΑΗΛΙΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΡΗΤΑ

The Infancy Gospel of Thomas

Θωμᾶ Ἰσραηλίτου φιλοσόφου ῥητὰ εἰς τὰ παιδικὰ τοῦ Κυρίου

III · THE INFANCY GOSPEL OF THOMAS

Thomas the Israelite tells the childhood deeds of Jesus. At five he gathers a brook into pools and makes twelve clay sparrows on the sabbath, which fly off at his clap. The son of Annas who scatters his pools withers like a tree, and a boy who knocks his shoulder falls dead; his accusers are struck blind, and Joseph pulls his ear. The teacher Zacchaeus undertakes to teach him letters, is lectured on the hidden meaning of the alpha, and confesses himself defeated by a child; a second teacher who strikes him falls senseless, and a third, who lets him speak, is told he has spoken rightly and his fellow is healed. Jesus raises Zeno, who fell from a roof, heals a woodcutter's foot and his brother James's viper bite, carries water in his cloak, sows a grain that yields a hundred measures, stretches a short beam, and raises a dead infant and a man lying dead at a building. At twelve he is found in the temple among the teachers, and returns subject to his parents.

Ἀναγγέλλω ὑμῖν ἐγὼ Θωμᾶς Ἰσραηλίτης πᾶσι τοῖς ἐξ 1
I-announce to-you I Thomas (the)-Israelite to-all the from
ἐθνῶν ἀδελφοῖς γνωρίσαι τὰ παιδικὰ καὶ μεγαλεῖα
(the)-gentiles brothers to-make-known the childhood(-deeds) and mighty(-works)
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅσα ἐποίησεν
of-the Lord our Jesus Christ as-many-as he-did
γεννηθεὶς ἐν τῇ χώρᾳ ἡμῶν. οὗ ἡ ἀρχὴ οὕτως.
having-been-born in the country our of-which the beginning (is)-thus
Τοῦτο τὸ παιδίον Ἰησοῦς πενταέτης γενόμενος παίζων ἦν 2
this the child Jesus five-years-old having-become playing was
ἐν διαβάσει ῥύακος, καὶ τὰ ῥέοντα ὕδατα συνήγαγεν εἰς
at (a)-ford of-(a)-brook and the flowing waters he-gathered into
λάκκους, καὶ ἐποίει αὐτὰ εὐθέως καθαρά, καὶ λόγῳ μόνῳ
pools and made them at-once clean and by-word alone
ἐπέταξεν αὐτά. Καὶ ποιήσας πηλὸν τρυφερὸν ἔπλασεν ἐξ
he-commanded them and having-made clay soft he-formed from

αὐτοῦ στρουθία ιβ΄· καὶ ἦν σάββατον ὅτε ταῦτα ἐποίησεν.
it sparrows twelve and it-was (the)-sabbath when these(-things) he-did
ἦσαν δὲ καὶ ἄλλα παιδία πολλὰ παίζοντα σὺν αὐτῷ. Ἰδὼν
were and also other children many playing with him having-seen
δέ τις Ἰουδαῖος ἃ ἐποίει ὁ Ἰησοῦς ἐν σαββάτῳ παίζων,
and some Jew what did — Jesus on (the)-sabbath playing
ἀπῆλθε παραχρῆμα καὶ ἀνήγγειλε τῷ πατρὶ αὐτοῦ Ἰωσήφ·
went-away immediately and reported to-the father his Joseph
ἰδοὺ τὸ παιδίον σου ἐστὶν ἐπὶ τὸ ῥυάκιον, καὶ λαβὼν
behold the child your is at the brook and having-taken
πηλὸν ἔπλασεν πουλία ιβ΄, καὶ ἐβεβήλωσεν τὸ σάββατον.
clay has-formed birds twelve and has-profaned the sabbath
Καὶ ἐλθὼν Ἰωσὴφ ἐπὶ τὸν τόπον καὶ ἰδὼν ἀνέκραξεν
and having-come Joseph to the place and having-seen(-it) cried-out
αὐτῷ λέγων· διατί ταῦτα ποιεῖς ἐν σαββάτῳ ἃ οὐκ
to-him saying why these(-things) do-you-do on (the)-sabbath which not
ἔξεστι ποιεῖν; ὁ δὲ Ἰησοῦς συγκροτήσας τὰς χεῖρας
it-is-lawful to-do — and Jesus having-clapped the hands
αὐτοῦ ἀνέκραξε τοῖς στρουθίοις καὶ εἶπεν αὐτοῖς· ὑπάγετε.
his cried-out to-the sparrows and said to-them go
καὶ πετασθέντα τὰ στρουθία ὑπῆγον κράζοντα. Ἰδόντες
and having-flown the sparrows went crying having-seen
δὲ οἱ Ἰουδαῖοι ἐθαμβήθησαν, καὶ ἀπελθόντες διηγήσαντο
and the Jews were-amazed and having-gone-away related
τοῖς πρώτοις αὐτῶν ὅπερ εἶδον πεποιηκότα τὸν Ἰησοῦν.
to-the chief(-men) their what they-saw having-done — Jesus
3 Ὁ δὲ υἱὸς Ἄννα τοῦ γραμματέως ἦν ἑστὼς ἐκεῖ μετὰ
the and son of-Annas of-the scribe was standing there with
τοῦ Ἰωσήφ, καὶ λαβὼν κλάδον ἰτέας ἐξέχεε τὰ ὕδατα
— Joseph and having-taken (a)-branch of-willow he-poured-out the waters
ἃ συνήγαγεν ὁ Ἰησοῦς. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὸ
which gathered — Jesus having-seen and — Jesus the(-thing)

γινόμενον ἠγανάκτησε, καὶ εἶπε πρὸς αὐτόν· ἄδικε,
happening was-angry and said to him unrighteous
ἀσεβὴ καὶ ἀνόητε, τί ἠδίκησάν σε οἱ λάκκοι καὶ τὰ
impious and foolish what wronged you the pools and the
ὕδατα; ἰδοὺ νῦν καὶ σὺ ὡς δένδρον ἀποξηρανθῇς, καὶ οὐ
waters behold now also you as (a)-tree shall-be-withered and not
μὴ ἐνέγκῃς φύλλα οὔτε ῥίζαν οὔτε καρπόν. Καὶ εὐθέως
— bear leaves nor root nor fruit and immediately
ὁ παῖς ἐκεῖνος ἐξηράνθη ὅλος. ὁ δὲ Ἰησοῦς ἀνεχώρησε
the boy that withered whole — and Jesus withdrew
καὶ ἀπῆλθεν εἰς τὸν οἶκον Ἰωσήφ. οἱ δὲ γονεῖς τοῦ
and went-away to the house of-Joseph the and parents of-the
ξηρανθέντος ἐβάστασαν αὐτὸν θρηνοῦντες τὴν νεότητα
withered(-one) carried him lamenting the youth
αὐτοῦ, καὶ ἤγαγον πρὸς τὸν Ἰωσήφ, καὶ ἐνεκάλουν
his and they-brought(-him) to — Joseph and accused
αὐτὸν ὅτι τοιοῦτον ἔχεις παιδίον ἐργαζόμενον τοιαῦτα.
him that such you-have (a)-child working such(-things)
Εἶτα πάλιν ἐπορεύετο διὰ τῆς κώμης, καὶ παιδίον τρέχων 4
then again he-was-going through the village and (a)-child running
διερράγη εἰς τὸν ὦμον αὐτοῦ. καὶ πικρανθεὶς ὁ Ἰησοῦς
dashed against the shoulder his and being-embittered — Jesus
εἶπεν αὐτῷ· οὐκ ἀπελεύσει τὴν ὁδόν σου. καὶ παραχρῆμα
said to-him not you-shall-go the way your and immediately
πεσὼν ἀπέθανεν. ἰδόντες δέ τινες τὸ γινόμενον εἶπον·
having-fallen he-died having-seen and some the(-thing) happening said
πόθεν τοῦτο τὸ παιδίον ἐγεννήθη, ὅτι πᾶν ῥῆμα αὐτοῦ ἔργον
whence this the child was-born that every word his (a)-deed
ἐστὶν ἕτοιμον; Καὶ προσελθόντες οἱ γονεῖς τοῦ τεθνεῶτος τῷ
is ready and having-come-to(-him) the parents of-the dead(-one) —
Ἰωσὴφ κατεμέμφοντο λέγοντες· σὺ τοιοῦτον παιδίον ἔχων
Joseph blamed saying you such (a)-child having

οὐ δύνασαι μεθ' ἡμῶν οἰκεῖν ἐν τῇ κώμῃ, ἢ δίδασκε αὐτῷ
not are-able with us to-dwell in the village or teach him
εὐλογεῖν καὶ μὴ καταρᾶσθαι· τὰ γὰρ παιδία ἡμῶν θανατοῖ.
to-bless and not to-curse the for children our he-kills
5 Καὶ προσκαλεσάμενος ὁ Ἰωσὴφ τὸ παιδίον κατ' ἰδίαν
and having-called — Joseph the child in private
ἐνουθέτει αὐτὸν λέγων· ἱνατί τοιαῦτα κατεργάζει, καὶ
admonished him saying why such(-things) do-you-work and
πάσχουσιν οὗτοι καὶ μισοῦσιν ἡμᾶς καὶ διώκουσιν; εἶπε
suffer these and hate us and persecute(-us) said
δὲ ὁ Ἰησοῦς· ἐγὼ οἶδα ὅτι τὰ ῥήματά σου ταῦτα οὐκ
and — Jesus I know that the words your these not
εἰσὶ σά, ὅμως σιγήσω διὰ σέ· ἐκεῖνοι δὲ οἴσουσιν
are yours nevertheless I-will-be-silent because-of you those and shall-bear
τὴν κόλασιν αὐτῶν. καὶ εὐθέως οἱ ἐγκαλοῦντες αὐτὸν
the punishment their and immediately the(-ones) accusing him
ἀπετυφλώθησαν. Καὶ οἱ ἰδόντες ἐφοβήθησαν σφόδρα
were-blinded and the(-ones) having-seen feared greatly
καὶ ἠπόρουν, καὶ ἔλεγον περὶ αὐτοῦ ὅτι πᾶν ῥῆμα ὃ
and were-at-a-loss and said about him that every word which
ἐλάλει, εἴτε καλὸν εἴτε κακόν, ἔργον ἦν καὶ θαῦμα
he-spoke whether good or bad (a)-deed was and (a)-wonder
ἐγένετο. ἰδόντες δὲ ὅτι τοιοῦτον ἐποίησεν ὁ Ἰησοῦς,
became having-seen and that such(-a-thing) did — Jesus
ἐγερθεὶς ὁ Ἰωσὴφ ἐπέλαβεν αὐτοῦ τὸ ὠτίον καὶ ἔτιλεν
having-risen — Joseph took-hold his the ear and pulled(-it)
σφόδρα. Τὸ δὲ παιδίον ἠγανάκτησε καὶ εἶπεν αὐτῷ·
hard the and child was-angry and said to-him
ἀρκετόν σοί ἐστιν ζητεῖν καὶ μὴ εὑρίσκειν, καὶ μάλιστα
enough for-you (it)-is to-seek and not to-find and especially
οὐ σοφῶς ἔπραξας· οὐκ οἶδας ὅτι σός; μή με λύπει.
not wisely you-have-acted not you-know that yours-(I-am) not me grieve

Καθηγητὴς δέ τις ὀνόματι Ζακχαῖος ἑστὼς ἐν μέρει τινὶ 6
(a)-teacher and certain by-name Zacchaeus standing in part certain
ἤκουσε τοῦ Ἰησοῦ ταῦτα λαλοῦντος τῷ πατρὶ αὐτοῦ, καὶ
heard — Jesus these(-things) speaking to-the father his and
ἐθαύμασεν σφοδρῶς ὅτι παιδίον ὢν τοιαῦτα φθέγγεται. Καὶ
marveled greatly that (a)-child being such(-things) he-utters and
μετ᾽ ὀλίγας ἡμέρας προσήγγισεν τῷ Ἰωσὴφ καὶ εἶπεν αὐτῷ
after few days he-drew-near — to-Joseph and said to-him
ὅτι παιδίον φρόνιμον ἔχεις, καὶ νοῦν ἔχει· δεῦρο παράδος
that (a)-child wise you-have and mind he-has come hand-over
μοι αὐτὸ ὅπως μάθῃ γράμματα, καὶ ἐγὼ διδάξω αὐτὸ
to-me him that he-may-learn letters and I will-teach him
μετὰ τῶν γραμμάτων πᾶσαν ἐπιστήμην καὶ προσαγορεύειν
with the letters all knowledge and to-greet
πάντας τοὺς πρεσβυτέρους καὶ τιμᾶν αὐτοὺς ὡς προπάτορας
all the elders and to-honor them as forefathers
καὶ πατέρας καὶ τοῦ ἀγαπᾶν συνηλικιώτας. Καὶ εἶπεν αὐτῷ
and fathers and the to-love (his)-peers and he-told him
πάντα τὰ γράμματα ἀπὸ τοῦ α΄ ἕως τοῦ ω΄ μετὰ πολλῆς
all the letters from the alpha to the omega with much
ἐξετάσεως τρανῶς. ἐμβλέψας δὲ τῷ καθηγητῇ Ζακχαίῳ
examination clearly having-looked and at-the teacher Zacchaeus
λέγει αὐτῷ· σὺ τὸ ἄλφα μὴ εἰδὼς κατὰ φύσιν, τὸ βῆτα
he-says to-him you the alpha not knowing according-to (its)-nature the beta
πῶς ἄλλους διδάσκεις; ὑποκριτά, πρῶτον εἰ οἶδας δίδαξον
how others do-you-teach hypocrite first if you-know teach
τὸ α΄, καὶ τότε σοι πιστεύσομεν περὶ τοῦ β΄. εἶτα ἤρξατο
the alpha and then you we-will-believe about the beta then he-began
ἀποστομίζειν τὸν διδάσκαλον περὶ τοῦ πρώτου γράμματος,
to-silence the teacher about the first letter
καὶ οὐκ ἴσχυσεν αὐτῷ ἀνταποκριθῆναι. Ἀκουόντων δὲ
and not was-able to-him to-answer hearing and

πολλῶν λέγει τὸ παιδίον τῷ Ζακχαίῳ· ἄκουε διδάσκαλε
many says the child — to-Zacchaeus hear teacher
τὴν τοῦ πρώτου στοιχείου τάξιν, καὶ πρόσχες ὧδε πῶς ἔχει
the of-the first element order and attend here how it-has
κανόνας, καὶ μεσαχαρακτῆρα οὓς ὁρᾷς ξυνοὺς διαβαίνοντα,
lines and (a)-middle-stroke which you-see common crossing
συναγομένους, ὕψους μὲν πορεύοντος πάλιν δὲ
brought-together of-height on-the-one-hand going again on-the-other
κεφαλαιοῦντος, τρισήμους ὁμογενεῖς, ὑπάρχους δὲ καὶ
summing-up three-marked of-one-kind subordinate and also
ὑποστάτους, ἰσομέτρους· κανόνας ἔχεις τοῦ α΄.
supporting equal-measured lines you-have of-the alpha

7 Ὡς δὲ ἤκουσεν ὁ διδάσκαλος Ζακχαῖος τὰς τοσαύτας καὶ
when and heard the teacher Zacchaeus the so-many and
τοιαύτας ἀλληγορίας τοῦ πρώτου γράμματος εἰρηκότος τοῦ
such allegories of-the first letter having-spoken the
παιδός, ἠπόρησεν ἐπὶ τοσαύτην ἀπολογίαν καὶ διδασκαλίαν
child he-was-at-a-loss at so-great (a)-defense and teaching
αὐτοῦ, καὶ εἶπεν τοῖς παροῦσιν· οἴμοι, ἠπορήθην ὁ
his and said to-the(-ones) present woe-is-me I-am-at-a-loss the
τάλας ἐγώ, ἐμαυτῷ αἰσχύνην παρέχων ἐπισπασάμενος τὸ
wretched I to-myself shame providing having-drawn-to(-me) the
παιδίον τοῦτο. Ἆρον οὖν αὐτό, παρακαλῶ σε, ἀδελφὲ
child this take-away then him I-beseech you brother
Ἰωσήφ· οὐ φέρω τὸ αὐστηρὸν τοῦ βλέμματος αὐτοῦ,
Joseph not I-bear the severity of-the look his
οὐ τρανῶ τὸν λόγον ἅπαξ. τοῦτο τὸ παιδίον γηγενὴς
not I-make-clear the word at-all this the child earth-born
οὐκ ἔστι, τοῦτο δύναται καὶ πῦρ δαμάσαι· τάχα τοῦτο
not is this(-one) is-able even fire to-tame perhaps this(-one)
πρὸ τῆς κοσμοποιίας ἐστὶν γεγεννημένον. ποία γαστὴρ
before the world's-making is begotten what womb

τοῦτο ἐβάστασεν, ποία δὲ μήτρα τοῦτο ἐξέθρεψεν, ἐγὼ
this(-one) carried what and womb this(-one) nurtured I
ἀγνοῶ. οἴμοι φίλε, ἐξηχεῖ με, οὐ παρακολουθήσω
know-not woe-is-me friend he-drives-out-of-wits me not I-shall-follow
τῇ διανοίᾳ αὐτοῦ· ἠπάτησα ἑαυτόν, ὁ τρισάθλιος ἐγώ·
the thought his I-deceived myself the thrice-wretched I
ἠγωνιζόμην ἔχειν μαθητήν, καὶ εὑρέθην ἔχειν διδάσκαλον.
I-strove to-have (a)-pupil and was-found to-have (a)-teacher
Ἐνθυμοῦμαι φίλοι τὴν αἰσχύνην, ὅτι γέρων ὑπάρχων
I-ponder friends the shame that (an)-old-man being
ὑπὸ παιδίου ἐνικήθην. καὶ ἔχω ἐκκακῆσαι καὶ ἀποθανεῖν
by (a)-child I-was-conquered and I-must to-faint and to-die
διὰ τούτου τοῦ παιδός· οὐ δύναμαι γὰρ ἐν τῇ ὥρᾳ
because-of this the child not I-am-able for in the hour
ταύτῃ ἐμβλέψαι εἰς τὴν ὄψιν αὐτοῦ. καὶ πάντων εἰπόντων
this to-look into the face his and all saying
ὅτι ἐνικήθην ὑπὸ παιδίου μικροῦ, τί ἔχω εἰπεῖν; καὶ
that I-was-conquered by (a)-child little what have-I to-say and
τί διηγήσασθαι περὶ ὧν μοι εἶπε κανόνων τοῦ πρώτου
what to-relate about which to-me he-told lines of-the first
στοιχείου; ἀγνοῶ, ὦ φίλοι· οὐ γὰρ ἀρχὴν καὶ τέλος
element I-know-not O friends not for (the)-beginning and end
αὐτοῦ γινώσκω. Τοιγαροῦν ἀξιῶ σε, ἀδελφὲ Ἰωσήφ,
its I-know therefore I-ask you brother Joseph
ἀπάγαγε αὐτὸν εἰς τὸν οἰκόν σου. οὗτος τί ποτε
take-away him to the house your this(-one) something —
μέγα ἐστίν, ἢ θεὸς ἢ ἄγγελος, ἢ τί εἴπω οὐκ οἶδα.
great is either (a)-god or (an)-angel or what I-shall-say not I-know
Τῶν δὲ Ἰουδαίων παραινούντων τῷ Ζακχαίῳ, ἐγέλασε 8
the and Jews encouraging — to-Zacchaeus laughed
τὸ παιδίον μέγα καὶ εἶπεν· νῦν καρποφορείτωσαν τὰ
the child loudly and said now let-bear-fruit the

σά, καὶ βλεπέτωσαν οἱ τυφλοὶ τῇ καρδίᾳ. ἐγὼ
yours(-things) and let-see the blind in-the heart I
ἄνωθεν πάρειμι ἵνα αὐτοὺς καταράσομαι καὶ εἰς τὰ
from-above am-present that them I-may-curse and to the(-things)
ἄνω καλέσω, καθὼς διετάξατο ὁ ἀποστείλας με
above call as ordained the(-one) having-sent me
δι᾽ ὑμᾶς. Καὶ ὡς τὸ παιδίον κατέπαυσε τὸν λόγον,
for-the-sake-of you and when the child ceased the word
εὐθέως ἐσώθησαν οἱ πάντες οἱ ὑπὸ τὴν κατάραν
immediately were-saved — all the(-ones) under the curse
αὐτοῦ πεσόντες. καὶ οὐδεὶς ἀπὸ τότε ἐτόλμα παροργίσαι
his having-fallen and no-one from then dared to-provoke
αὐτόν, ὅπως μὴ καταράσεται αὐτὸν καὶ ἔσται ἀνάπηρος.
him that not he-should-curse him and he-be maimed

9 Καὶ μεθ᾽ ἡμέρας δέ τινας ἔπαιζεν ὁ Ἰησοῦς ἔν τινι δώματι
and after days and some was-playing — Jesus on some housetop
ἐν ὑπερῴῳ, καὶ ἓν τῶν παιδίων τῶν παιζόντων
in (an)-upper-room and one of-the children of-the(-ones) playing
μετ᾽ αὐτοῦ πεσὼν ἀπὸ τοῦ δώματος κάτω ἀπέθανε· καὶ
with him having-fallen from the housetop down died and
ἰδόντα τὰ ἄλλα παιδία ἔφυγον, καὶ κατέστη ὁ Ἰησοῦς
having-seen(-it) the other children fled and remained — Jesus
μόνος. Καὶ ἐλθόντες οἱ γονεῖς τοῦ τεθνεῶτος ἐνεκάλουν
alone and having-come the parents of-the dead(-one) accused
[αὐτὸν ὡς καταβαλόντα αὐτόν. καὶ ὁ Ἰησοῦς εἶπεν· ἐγὼ
him as having-thrown-down him and — Jesus said I
οὐδέποτε κατέβαλον αὐτόν]. ἐκεῖνοι δὲ ἐπηρέαζον αὐτόν.
never threw-down him they and abused him
Κατεπήδησεν ὁ Ἰησοῦς ἀπὸ τοῦ στέγους καὶ ἔστη παρὰ τὸ
leaped-down — Jesus from the roof and stood beside the
πτῶμα τοῦ παιδίου, καὶ ἔκραξε φωνῇ μεγάλῃ καὶ εἶπεν·
corpse of-the child and cried with-(a)-voice loud and said

Ζῆνον, — οὕτω γὰρ τὸ ὄνομα αὐτοῦ ἐκαλεῖτο — ἀναστὰς
Zeno thus for the name his was-called having-arisen
εἰπέ μοι, ἐγώ σε κατέβαλον; καὶ ἀναστὰς παραχρῆμα εἶπεν·
tell me (did)-I you throw-down and having-arisen immediately he-said
οὐχὶ κύριε, οὐ κατέβαλας ἀλλὰ ἀνέστησας. καὶ ἰδόντες
not Lord not you-threw-down(-me) but raised(-me) and having-seen(-it)
ἐξεπλάγησαν. οἱ δὲ γονεῖς τοῦ παιδίου ἐδόξασαν τὸν θεὸν
were-astounded the and parents of-the child glorified — God
ἐπὶ τῷ γεγονότι σημείῳ, καὶ προσεκύνησαν τῷ Ἰησοῦ.
for the having-happened sign and worshiped — Jesus
Μετ' ὀλίγας ἡμέρας σχίζων τις ξύλα ἐν τῇ γωνίᾳ
after few days splitting (a)-certain(-one) wood in the corner
νεώτερος, ἔπεσεν ἡ ἀξίνη καὶ διέσχισεν τὴν βάσιν τοῦ
younger fell the axe and split the sole of-the
ποδὸς αὐτοῦ, καὶ ἔξαιμος γενόμενος ἀπέθνησκεν. Θορύβου
foot his and bloodless having-become he-was-dying (an)-uproar
δὲ γενομένου καὶ συνδρομῆς, ἔδραμε καὶ τὸ παιδίον
and having-arisen and (a)-concourse ran also the child
Ἰησοῦς ἐκεῖ. καὶ βιασάμενος διῆλθεν τὸν ὄχλον, καὶ
Jesus there and having-forced(-his-way) went-through the crowd and
ἐκράτησεν τοῦ νεανίσκου τὸν πεπληγότα πόδαν, καὶ
grasped of-the young-man the struck foot and
εὐθέως ἰάθη. εἶπε δὲ τῷ νεανίσκῳ· ἀνάστα νῦν,
immediately it-was-healed he-said and to-the young-man arise now
σχίζε τὰ ξύλα καὶ μνημόνευέ μου. ὁ δὲ ὄχλος ἰδὼν
split the wood and remember me the and crowd having-seen
τὸ γεγονὸς προσεκύνησαν τὸ παιδίον, λέγοντες·
the(-thing) having-happened worshiped the child saying
ἀληθῶς πνεῦμα θεοῦ ἐνοικεῖ ἐν τῷ παιδίῳ τούτῳ.
truly (the)-spirit of-God dwells in the child this

11 Ὄντος δὲ αὐτοῦ ἑξαέτους, πέμπει αὐτὸν ἡ μήτηρ
being and he six-years-old sends him the mother
αὐτοῦ ὕδωρ ἀντλῆσαι καὶ φέρειν ἐν τῷ οἴκῳ, δεδωκὼς
his water to-draw and to-bring into the house having-given
αὐτῷ ὑδρίαν. ἐν δὲ τῷ ὄχλῳ συγκρούσας, ἡ ὑδρία
him (a)-pitcher in and the crowd having-collided the pitcher
ἐρράγη. Ὁ δὲ Ἰησοῦς ἁπλώσας τὸ παλίον ὅπερ ἦν
was-broken — and Jesus having-spread-out the cloak which he-was
βεβλημένος, ἐγέμισεν αὐτὸ ὕδωρ καὶ ἤνεγκε τῇ
having-been-clothed(-in) filled it (with)-water and brought(-it) to-the
μητρὶ αὐτοῦ. ἰδοῦσα δὲ ἡ μήτηρ αὐτοῦ τὸ γεγονὸς
mother his having-seen and the mother his the having-happened
σημεῖον κατεφίλει αὐτόν, καὶ διετήρει ἐν αὐτῇ τὰ μυστήρια
sign kissed him and kept in herself the mysteries
ἃ ἔβλεπεν αὐτὸν ποιοῦντα.
which she-saw him doing

12 Πάλιν δὲ ἐν καιρῷ τοῦ σπόρου ἐξῆλθεν τὸ παιδίον μετὰ
again and in (the)-time of-the sowing went-out the child with
τοῦ πατρὸς αὐτοῦ ἵνα σπείρει σῖτον εἰς τὴν χώραν
the father his that he-might-sow wheat in the country
αὐτῶν· καὶ ἐν τῷ σπείρειν τὸν πατέρα αὐτοῦ ἔσπειρε καὶ
their and in the sowing the father his sowed also
τὸ παιδίον Ἰησοῦς ἕνα κόκκον σίτου. Καὶ θερίσας καὶ
the child Jesus one grain of-wheat and having-reaped and
ἀλωνίσας ἐποίησε κόρους ρ΄, καὶ καλέσας πάντας
having-threshed he-made cors (a)-hundred and having-called all
τοὺς πτωχοὺς τῆς κώμης εἰς τὴν ἅλωνα ἐχαρίσατο
the poor of-the village to the threshing-floor he-gave
αὐτοῖς τὸν σῖτον, καὶ Ἰωσὴφ ἔφερεν τὸ καταλειφθὲν τοῦ
them the wheat and Joseph carried the left(-part) of-the
σίτου. ἦν δὲ ἐτῶν η΄ ὅτε τοῦτο ἐποίησε τὸ σημεῖον.
wheat he-was and of-years eight when this he-did the sign

Ὁ δὲ πατὴρ αὐτοῦ τέκτων ἦν, καὶ ἐποίει ἐν τῷ καιρῷ 13
the and father his (a)-carpenter was and made in the time
ἐκείνῳ ἄροτρα καὶ ζυγούς. ἐπετάγη αὐτῷ κράββατος παρά
that plows and yokes was-ordered of-him bed by
τινος πλουσίου ὅπως ποιήσει αὐτῷ. τοῦ δὲ ἑνὸς
(a)-certain rich(-man) that he-should-make(-it) for-him the and one
κανόνος τοῦ καλουμένου ἐναλλάκτου ὄντος κολοβωτέρου,
beam the(-one) called crosspiece being too-short
μὴ ἔχοντες τί ποιῆσαι, εἶπεν τὸ παιδίον ὁ Ἰησοῦς τῷ πατρὶ
not having what to-do said the child — Jesus to-the father
αὐτοῦ Ἰωσήφ· θὲς κάτω τὰ δύο ξύλα, καὶ ἐκ τοῦ μέσου
his Joseph put down the two pieces-of-wood and from the middle
μέρους ἰσοποίησον αὐτά. Καὶ ἐποίησεν Ἰωσὴφ καθὼς εἶπεν
part make-equal them and did Joseph as said
αὐτῷ τὸ παιδίον. ἔστη δὲ ὁ Ἰησοῦς ἐκ τοῦ ἑτέρου μέρους
to-him the child stood and — Jesus at the other end
καὶ ἐκράτησεν τὸ κολοβώτερον ξύλον, καὶ ἐκτείνας αὐτὸ
and grasped the shorter wood and having-stretched it
ἴσον ἐποίησεν τοῦ ἄλλου. καὶ εἶδεν ὁ πατὴρ αὐτοῦ Ἰωσὴφ
equal made(-it) to-the other and saw(-it) the father his Joseph
καὶ ἐθαύμασε, καὶ περιλαβὼν τὸ παιδίον κατεφίλει λέγων·
and marveled and having-embraced the child kissed(-him) saying
μακάριός εἰμι, ὅτι τὸ παιδίον τοῦτο δέδωκέ μοι ὁ θεός.
blessed am-I that the child this has-given me — God
Ἰδὼν δὲ ὁ Ἰωσὴφ τὸν νοῦν τοῦ παιδίου καὶ τὴν 14
having-seen and — Joseph the mind of-the child and the
ἡλικιότητα, ὅτι ἀκμάζει, πάλιν ἐβουλεύσατο μὴ εἶναι αὐτὸ
age that it-flourishes again he-resolved not to-be him
ἄπειρον τῶν γραμμάτων, καὶ ἀπαγαγὼν αὐτὸ παρέδωκεν
unskilled in-the letters and having-taken-away him handed(-him)-over
ἑτέρῳ διδασκάλῳ. εἶπε δὲ ὁ διδάσκαλος τῷ Ἰωσήφ·
to-another teacher said and the teacher — to-Joseph

πρῶτον παιδεύσω αὐτὸ τὰ ἑλληνικά, ἔπειτα τὰ ἑβραϊκά.
first I-will-teach him the Greek(-letters) then the Hebrew
ᾔδει γὰρ ὁ διδάσκαλος τὴν πεῖραν τοῦ παιδίου, καὶ
knew for the teacher the trial of-the child and
ἐφοβήθη αὐτό· ὅμως γράψας τὸν ἀλφάβητον ἐπετήδευεν
feared him nevertheless having-written the alphabet he-practiced
αὐτὸ ἐπὶ πολλὴν ὥραν, καὶ οὐκ ἀπεκρίνατο αὐτῷ. Εἶπε δὲ
him for (a)-long hour and not he-answered him said and
αὐτῷ ὁ Ἰησοῦς· εἰ ὄντως διδάσκαλος εἶ, καὶ εἰ οἶδας
to-him — Jesus if truly (a)-teacher you-are and if you-know
καλῶς τὰ γράμματα, εἰπέ μοι τοῦ ἄλφα τὴν δύναμιν,
well the letters tell me of-the alpha the power
κἀγώ σοι ἐρῶ τὴν τοῦ βῆτα. πικρανθεὶς δὲ ὁ
and-I to-you will-tell the(-power) of-the beta being-embittered and the
διδάσκαλος ἔκρουσεν αὐτοῦ εἰς τὴν κεφαλήν. τὸ δὲ παιδίον
teacher struck him on the head the and child
πονέσας κατηράσατο αὐτόν, καὶ εὐθέως ἐλιποθύμησε καὶ
having-been-hurt cursed him and immediately he-fainted and
ἔπεσεν χαμαὶ ἐπὶ πρόσωπον. Ἀπεστράφη δὲ τὸ παιδίον
fell to-the-ground on (his)-face returned and the child
εἰς τὸν οἶκον Ἰωσήφ. Ἰωσὴφ δὲ ἐλυπήθη, καὶ παρήγγειλε
to the house of-Joseph Joseph and was-grieved and charged
τῇ μητρὶ αὐτοῦ ὅπως ἔξω τῆς θύρας μὴ ἀπολύσεις
to-the mother his that outside the door not you-let-go
αὐτόν, διότι ἀποθνήσκουσιν οἱ παροργίζοντες αὐτόν.
him because die the(-ones) provoking him
15 Μετὰ δὲ χρόνον τινὰ ἕτερος πάλιν καθηγητής, γνήσιος
after and time some another again teacher genuine
φίλος ὢν τοῦ Ἰωσήφ, εἶπεν αὐτῷ· ἄγαγέ μοι τὸ παιδίον
friend being — of-Joseph said to-him bring me the child
εἰς τὸ παιδευτήριον· ἴσως ἂν δυνηθῶ ἐγὼ μετὰ κολακίας
to the school perhaps — might-be-able I with flattery

διδάξαι αὐτὸ τὰ γράμματα. καὶ εἶπεν Ἰωσήφ· εἰ θαρρεῖς,
to-teach him the letters and said Joseph if you-dare
ἀδελφέ, ἔπαρον αὐτὸ μετὰ σεαυτοῦ. καὶ λαβὼν αὐτὸ μετ᾽
brother take him with yourself and having-taken him with
αὐτοῦ μετὰ φόβου καὶ ἀγῶνος πολλοῦ, τὸ δὲ παιδίον ἡδέως
him with fear and anxiety much the and child gladly
ἐπορεύετο. Καὶ εἰσελθὼν θρασὺς εἰς τὸ διδασκαλεῖον εὗρε
went and having-entered boldly into the school he-found
βιβλίον κείμενον ἐν τῷ ἀναλογίῳ, καὶ λαβὼν αὐτὸ οὐκ
(a)-book lying on the lectern and having-taken it not
ἀνεγίνωσκε τὰ γράμματα τὰ ἐν αὐτῷ, ἀλλὰ ἀνοίξας
he-read the letters the(-ones) in it but having-opened
τὸ στόμα αὐτοῦ ἐλάλει πνεύματι ἁγίῳ, καὶ ἐδίδασκε τὸν
the mouth his he-spoke by-(the)-spirit holy and taught the
νόμον τοὺς περιεστῶτας. ὄχλος δὲ πολὺς συνελθόντες
law (to)-the(-ones) standing-around (a)-crowd and great having-come-together
παριστήκεισαν ἀκούοντες αὐτοῦ, καὶ ἐθαύμαζον ἐν τῇ
stood-by hearing him and marveled at the
ὡραιότητι τῆς διδασκαλίας αὐτοῦ καὶ τῇ ἑτοιμασίᾳ τῶν
beauty of-the teaching his and the readiness of-the
λόγων αὐτοῦ, ὅτι νήπιον ὢν τοιαῦτα φθέγγεται. Ἀκούσας
words his that (an)-infant being such(-things) he-utters having-heard
δὲ Ἰωσὴφ ἐφοβήθη, καὶ ἔδραμεν εἰς τὸ διδασκαλεῖον,
and Joseph feared and ran to the school
λογισάμενος μὴ οὗτος ὁ καθηγητὴς ἐστιν ἄπειρος. εἶπε
reckoning lest this the teacher be unskilled said
δὲ ὁ καθηγητὴς τῷ Ἰωσήφ· ἵνα εἰδῇς, ἀδελφέ, ὅτι
and the teacher — to-Joseph that you-may-know brother that
ἐγὼ μὲν παρέλαβον τὸ παιδίον ὡς μαθητήν, αὐτὸ
I on-the-one-hand received the child as (a)-pupil he
δὲ πολλῆς χάριτος καὶ σοφίας μεστόν ἐστιν· καὶ
on-the-other of-much grace and wisdom full is and

λοιπὸν ἀξιῶ σε, ἀδελφέ, ἆρον αὐτὸ εἰς τὸν οἶκόν σου. Ὡς
for-the-rest I-ask you brother take him to the house your when
δὲ ἤκουσεν τὸ παιδίον ταῦτα, εὐθέως προσεγέλασεν αὐτῷ
and heard the child these(-things) at-once he-smiled-at him
καὶ εἶπεν· ἐπειδὴ ὀρθῶς ἐλάλησας καὶ ὀρθῶς ἐμαρτύρησας,
and said since rightly you-spoke and rightly you-bore-witness
διὰ σὲ κἀκεῖνος ὁ πληγωθεὶς ἰαθήσεται. καὶ
for-the-sake-of you that-one-too the(-one) struck shall-be-healed and
παραυτὰ ἰάθη ὁ ἕτερος καθηγητής. παρέλαβε δὲ ὁ
at-once was-healed the other teacher took and —
Ἰωσὴφ τὸ παιδίον καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.
Joseph the child and went-away to the house his

16 Ἔπεμψε δὲ Ἰωσὴφ τὸν υἱὸν αὐτοῦ τὸν Ἰάκωβον τοῦ
sent and Joseph the son his — James of-the
δῆσαι ξύλα καὶ φέρειν εἰς τὸν οἶκον αὐτοῦ· ἠκολούθει
to-bind wood and to-bring(-it) into the house his followed
δὲ καὶ τὸ παιδίον Ἰησοῦς αὐτῷ. καὶ συλλέγοντος τοῦ
and also the child Jesus him and gathering —
Ἰακώβου τὰ φρύγανα, ἔχιδνα ἔδακε τὴν χεῖραν Ἰακώβου.
James the brushwood (a)-viper bit the hand of-James
Καὶ κατατεινομένου αὐτοῦ καὶ ἀπολλυμένου προσήγγισεν ὁ
and being-stretched-out he and perishing drew-near —
Ἰησοῦς καὶ κατεφύσησε τὸ δῆγμα· καὶ εὐθέως ἐπαύσατο
Jesus and blew-on the bite and immediately ceased
ὁ πόνος, καὶ τὸ θηρίον ἐρράγη, καὶ παραυτὰ ἔμεινεν
the pain and the beast burst and at-once remained
ὁ Ἰάκωβος ὑγιής.
— James healthy

17 Μετὰ δὲ ταῦτα ἐν τῇ γειτονίᾳ τοῦ Ἰωσὴφ νοσῶν τι
after and these(-things) in the neighborhood — of-Joseph being-sick (a)-certain
νήπιον ἀπέθανεν, καὶ ἔκλαιεν ἡ μήτηρ αὐτοῦ σφόδρα.
infant died and wept the mother his greatly

ἤκουσε δὲ ὁ Ἰησοῦς ὅτι πένθος μέγα καὶ θόρυβος γίνεται,
heard and — Jesus that mourning great and uproar is-happening
καὶ ἔδραμε σπουδαίως· καὶ εὑρὼν τὸ παιδίον νεκρόν, καὶ
and ran eagerly and found the child dead and
ἥψατο τοῦ στήθους αὐτοῦ καὶ εἶπεν· σοὶ λέγω, βρέφος,
touched the breast his and said to-you I-say babe
μὴ ἀποθάνῃς ἀλλὰ ζῆσον, καὶ ἔστω μετὰ τῆς μητρός
not die but live and be with the mother
σου. καὶ εὐθὺς ἀναβλέψας ἐγέλασεν. εἶπε δὲ τῇ
your and immediately having-looked-up it-laughed he-said and to-the
γυναικί· ἆρον αὐτὸ καὶ δὸς γάλα, καὶ μνημόνευέ μου.
woman take it and give(-it) milk and remember me
Καὶ ἰδὼν ὁ παρεστὼς ὄχλος ἐθαύμασεν, καὶ εἶπον·
and having-seen(-it) the standing-by crowd marveled and said
ἀληθῶς τὸ παιδίον τοῦτο ἢ θεὸς ἦν ἢ ἄγγελος θεοῦ,
truly the child this either (a)-god was or (an)-angel of-God
ὅτι πᾶς λόγος αὐτοῦ ἔργον ἐστὶν ἕτοιμον. καὶ ἐξῆλθεν
for every word his (a)-deed is ready and went-out
ὁ Ἰησοῦς ἐκεῖθεν παίζων μετὰ καὶ ἑτέρων παιδίων.
— Jesus from-there playing with also other children
Μετὰ δὲ χρόνον τινὰ οἰκοδομῆς γενομένης καὶ θορύβου 18
after and time some building happening and (an)-uproar
μεγάλου, ἵστατο ὁ Ἰησοῦς καὶ ἀπῆλθεν ἕως ἐκεῖ. καὶ
great stood — Jesus and went-away as-far-as there and
ἰδὼν ἄνθρωπον νεκρὸν κείμενον ἐπελάβετο τῆς χειρὸς
having-seen (a)-man dead lying took-hold of-the hand
αὐτοῦ καὶ εἶπεν· σοὶ λέγω, ἄνθρωπε, ἀνάστα, ποίει τὸ
his and said to-you I-say man arise do the
ἔργον σου. καὶ εὐθέως ἀναστὰς προσεκύνησεν αὐτόν.
work your and immediately having-arisen he-worshiped him
Ἰδὼν δὲ ὁ ὄχλος ἐθαύμασεν καὶ εἶπεν· τοῦτο τὸ
having-seen and the crowd marveled and said this the

παιδίον οὐράνιόν ἐστιν· πολλὰς γὰρ ψυχὰς ἔσωσεν ἐκ
child heavenly is many for souls it-has-saved from
θανάτου, καὶ ἔχει σῶσαι ἕως πάσης τῆς ζωῆς αὐτοῦ.
death and it-is-able to-save throughout all the life its
19 Ὄντος δὲ αὐτοῦ δωδεκαετοῦς ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ
being and he twelve-years-old went the parents his
κατὰ τὸ ἔθος εἰς Ἰερουσαλὴμ εἰς τὴν ἑορτὴν τοῦ πάσχα
according-to the custom to Jerusalem for the feast of-the passover
μετὰ τῆς συνοδίας αὐτῶν, καὶ μετὰ τὸ πάσχα ὑπέστρεφον
with the company their and after the passover they-returned
εἰς τὸν οἶκον αὐτῶν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτοὺς
to the house their and in the returning them
ἀνῆλθε τὸ παιδίον Ἰησοῦς εἰς Ἰεροσόλυμα· οἱ δὲ γονεῖς
went-up the child Jesus to Jerusalem the and parents
αὐτοῦ ἐνόμισαν αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι. Ὁδευσάντων
his supposed him in the company to-be having-journeyed
δὲ ὁδὸν ἡμέρας μιᾶς, ἐζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν
and (a)-way of-(a)-day one they-sought him among the kinsfolk
αὐτῶν, καὶ μὴ εὑρόντες αὐτὸν ἐλυπήθησαν, καὶ ὑπέστρεψαν
their and not having-found him they-were-grieved and returned
πάλιν εἰς τὴν πόλιν ζητοῦντες αὐτόν. καὶ μετὰ τρίτην
again to the city seeking him and after (the)-third
ἡμέραν εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ
day they-found him in the temple sitting in (the)-midst
τῶν διδασκάλων καὶ ἀκούοντα καὶ ἐρωτῶντα αὐτούς.
of-the teachers and hearing and questioning them
προσεῖχον δὲ πάντες καὶ ἐθαύμαζον, πῶς παιδίον ὑπάρχων
attended and all and marveled how (a)-child being
ἀποστομίζει τοὺς πρεσβυτέρους καὶ διδασκάλους τοῦ λαοῦ,
he-silences the elders and teachers of-the people
ἐπιλύων τὰ κεφάλαια τοῦ νόμου καὶ τὰς παραβολὰς τῶν
solving the heads of-the law and the parables of-the

προφητῶν. Προσελθοῦσα δὲ ἡ μήτηρ αὐτοῦ Μαρία εἶπεν
prophets having-come-near and the mother his Mary said
αὐτῷ· ἱνατί τοῦτο ἐποίησας ἡμῖν, τέκνον; ἰδοὺ ὀδυνώμενοι
to-him why this did-you-do to-us child behold sorrowing
ἐζητοῦμέν σε. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· τί με ζητεῖτε;
we-sought you and said to-them — Jesus why me do-you-seek
οὐκ οἴδατε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί
not do-you-know that in the(-house) of-the father my (one)-must to-be
με; Οἱ δὲ γραμματεῖς καὶ Φαρισαῖοι εἶπον· σὺ εἶ μήτηρ
me the and scribes and Pharisees said you are (the)-mother
τοῦ παιδίου τούτου; ἡ δὲ εἶπεν· ἐγώ εἰμι. καὶ εἶπον
of-the child this she and said I am(-she) and they-said
αὐτῇ· μακαρία σὺ εἶ ἐν γυναιξίν, ὅτι ηὐλόγησεν ὁ θεὸς
to-her blessed you are among women for has-blessed — God
τὸν καρπὸν τῆς κοιλίας σου· τοιαύτην γὰρ δόξαν καὶ
the fruit of-the womb your such for glory and
τοιαύτην ἀρετὴν καὶ σοφίαν οὔτε ἴδομεν οὔτε ἠκούσαμέν
such virtue and wisdom neither we-saw nor heard
ποτε. Ἀναστὰς δὲ Ἰησοῦς ἠκολούθησεν τῇ μητρὶ αὐτοῦ,
ever having-arisen and Jesus followed the mother his
καὶ ἦν ὑποτασσόμενος τοῖς γονεῦσιν αὐτοῦ. ἡ δὲ μήτηρ
and was subject to-the parents his the and mother
αὐτοῦ διετήρει πάντα τὰ γενόμενα. ὁ δὲ Ἰησοῦς
his kept all the(-things) having-happened — and Jesus
προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι· αὐτῷ ἡ δόξα
advanced in-wisdom and stature and grace to-him (be)-the glory
εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
to the ages of-the ages amen

ANONYMOUS

ΥΠΟΜΝΗΜΑΤΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΠΡΑΧΘΕΝΤΑ ΕΠΙ ΠΟΝΤΙΟΥ ΠΙΛΑΤΟΥ

The Acts of Pilate

Ὑπομνήματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πραχθέντα ἐπὶ Ποντίου Πιλάτου

IV · THE ACTS OF PILATE, PROLOGUE–8

Ananias, an officer of the guard, says he found these memoirs in Hebrew and put them into Greek under Theodosius and Valentinian; Nicodemus wrote them. The chief priests accuse Jesus before Pilate of being a sorcerer who breaks the sabbath, and the elders add that he was born of fornication. When he is brought in, the standards bow to him twice, even when held by the Jews' strongest men, and Pilate's wife sends word of her dream. Twelve devout Jews testify that he was born in wedlock, though their law forbids them to swear, and Pilate, finding no fault, questions him on his kingdom and on truth, while the Jews demand that he be crucified. Nicodemus pleads for him, recalling Jannes and Jambres; those he healed come forward, the paralytic, the man born blind, the bent man, the leper, and Bernice with the issue of blood, but the Jews say a woman may not testify. Others cry that he raised Lazarus, and Pilate asks why they would shed innocent blood.

Ἐγὼ Ἀνανίας προτίκτωρ ἀπὸ ἐπάρχων τυγχάνων,
I Ananias protector of (the)-prefects being
νομομαθής, ἐκ τῶν θείων γραφῶν ἐπέγνων τὸν κύριον
learned-in-the-law from the divine scriptures I-came-to-know the Lord
ἡμῶν Ἰησοῦν Χριστὸν πίστει προσελθών, καταξιωθεὶς
our Jesus Christ by-faith having-approached having-been-deemed-worthy
δὲ καὶ τοῦ ἁγίου βαπτίσματος· ἐρευνήσας δὲ καὶ τὰ
and also of-the holy baptism having-searched and also the
ὑπομνήματα τὰ κατὰ τὸν καιρὸν ἐκεῖνον πραχθέντα
memoirs the(-ones) at the time that done
ἐπὶ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἃ
in-the-time-of the master our Jesus Christ which
κατέθεντο οἱ Ἰουδαῖοι ἐπὶ Ποντίου Πιλάτου, ταῦτα
deposited the Jews in-the-time-of Pontius Pilate these
εὗρον τὰ ὑπομνήματα ἐν ἑβραϊκοῖς γράμμασιν, καὶ θεοῦ
I-found the memoirs in Hebrew letters and of-God

εὐδοκίᾳ μεθερμήνευσα γράμμασιν ἑλληνικοῖς εἰς
by-(the)-good-pleasure I-translated(-them) into-letters Greek for
ἐπίγνωσιν πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομα τοῦ
(the)-knowledge of-all the(-ones) calling-on the name of-the
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ τῆς βασιλείας τοῦ δεσπότου
Lord our Jesus Christ in the reign of-the master
ἡμῶν Φλαβίου Θεοδοσίου, ἔτους ἑπτακαιδεκάτου, καὶ
our Flavius Theodosius in-(the)-year seventeenth and
Φλαβίου Οὐαλεντινιανοῦ τὸ ἕκτον, ἐν ἰνδικτιῶνι θ′.
of-Flavius Valentinian the sixth in (the)-indiction ninth
Πάντες οὖν ὅσοι ἀναγινώσκετε καὶ μεταβάλλετε εἰς
all therefore as-many-as read and transcribe into
ἕτερα βιβλία, μνημονεύετέ μου καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ, ἵνα
other books remember me and pray for me that
ἵλεός μοι γένηται ὁ θεὸς καὶ ἱλάσηται ταῖς ἁμαρτίαις
merciful to-me may-be — God and be-propitious to-the sins
μου ἃς ἥμαρτον εἰς αὐτόν.
my which I-sinned against him
Εἰρήνη τοῖς ἀναγινώσκουσι καὶ τοῖς ἀκούουσι καὶ
peace to-the(-ones) reading and to-the(-ones) hearing and
τοῖς οἰκέταις αὐτῶν. ἀμήν.
to-the servants their amen
Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου
in (the)-year fifteenth of-the governorship of-Tiberius
Καίσαρος βασιλέως Ῥωμαίων, καὶ Ἡρώδου βασιλέως τῆς
Caesar king of-(the)-Romans and of-Herod king —
Γαλιλαίας, ἐν ἔτει ἐννεακαιδεκάτῳ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ,
of-Galilee in (the)-year nineteenth of the rule his
τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων, ἥτις ἐστὶν εἰκὰς
on-the before eight calends of-April which is (the)-twentieth
πέμπτη Μαρτίου, ἐν ὑπατείᾳ Ῥούφου καὶ Ῥουβελλίωνος,
fifth of-March in (the)-consulship of-Rufus and of-Rubellio

ἐν τῷ τετάρτῳ ἔτει τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος,
in the fourth year of-the two-hundredth second olympiad
ἐπὶ ἀρχιερέως τῶν Ἰουδαίων Ἰωσήπου τοῦ Καιάφα.
under (the)-high-priest of-the Jews Joseph — Caiaphas
Ὅσα μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος τοῦ κυρίου
what-things after the cross and the passion of-the Lord
ἱστορήσας Νικόδημος παρέδωκεν τοῖς ἀρχιερεῦσιν καὶ
having-recorded Nicodemus handed-down to-the high-priests and
τοῖς ἄλλοις Ἰουδαίοις· συνέταξεν δὲ ὁ αὐτὸς Νικόδημος
to-the other Jews composed and the same Nicodemus
γράμμασιν ἑβραϊκοῖς.
in-letters Hebrew
Συμβούλιον γὰρ ποιήσαντες οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, 1
(a)-council for having-made the high-priests and the scribes
Ἅννας καὶ Καϊάφας καὶ Σήμης καὶ Δαθαὴς καὶ Γαμαλιήλ,
Annas and Caiaphas and Semes and Dathaes and Gamaliel
Ἰούδας, Λευὶς καὶ Νεφθαλείμ, Ἀλέξανδρος καὶ Ἰάειρος καὶ
Judas Levi and Nephthalim Alexander and Jairus and
οἱ λοιποὶ τῶν Ἰουδαίων ἦλθον πρὸς Πιλᾶτον κατηγοροῦντες
the rest of-the Jews came to Pilate accusing
τοῦ Ἰησοῦ περὶ πολλῶν πράξεων, λέγοντες· τοῦτον οἴδαμεν
— Jesus about many deeds saying this(-man) we-know
ὄντα υἱὸν Ἰωσὴφ τοῦ τέκτονος ἀπὸ Μαρίας γεννηθέντα,
being (the)-son of-Joseph the carpenter of Mary born
καὶ λέγει ἑαυτὸν εἶναι υἱὸν θεοῦ καὶ βασιλέα· ἀλλὰ καὶ τὰ
and he-says himself to-be (the)-son of-God and (a)-king but also the
σάββατα βεβηλοῖ, καὶ τὸν πάτριον νόμον ἡμῶν βούλεται
sabbaths he-profanes and the ancestral law our he-wishes
καταλῦσαι. λέγει ὁ Πιλᾶτος· καὶ τίνα ἐστὶν ἃ πράττει
to-destroy says — Pilate and what is-it which he-does
καὶ βούλεται καταλῦσαι; λέγουσιν οἱ Ἰουδαῖοι· νόμον ἔχομεν
and wishes to-destroy say the Jews (a)-law we-have

ἐν σαββάτῳ μὴ θεραπεῦσαί τινα· οὗτος δὲ χωλοὺς καὶ
on (the)-sabbath not to-heal anyone this(-man) but lame and
κυρτοὺς ξηρούς τε καὶ τυφλοὺς καὶ παραλυτικοὺς κωφοὺς
bent withered both and blind and paralytics deaf
καὶ δαιμονιζομένους ἐθεράπευσεν ἐν σαββάτῳ ἀπὸ κακῶν
and demoniacs healed on (the)-sabbath by evil
πράξεων. λέγει αὐτοῖς ὁ Πιλᾶτος· ποίων κακῶν πράξεων;
deeds says to-them — Pilate by-what evil deeds
λέγουσιν αὐτῷ· γόης ἐστίν, καὶ ἐν Βεελζεβοὺλ ἄρχοντι
they-say to-him (a)-sorcerer he-is and by Beelzebul ruler
τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια, καὶ πάντα αὐτῷ
of-the demons he-casts-out the demons and all(-things) to-him
ὑποτάσσεται. λέγει αὐτοῖς ὁ Πιλᾶτος· τοῦτο οὐκ ἔστιν ἐν
are-subject says to-them — Pilate this not is by
πνεύματι ἀκαθάρτῳ ἐκβάλλειν τὰ δαιμόνια, ἀλλ' ἐν θεῷ
(a)-spirit unclean to-cast-out the demons but by (the)-god
τῷ Ἀσκληπιῷ. Λέγουσιν οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ· ἀξιοῦμεν
— Asclepius say the Jews — to-Pilate we-ask
τὸ σὸν μέγεθος ὥστε αὐτὸν παραστῆναι τῷ βήματί σου
the your greatness that he stand-before the judgment-seat your
καὶ ἀκουσθῆναι. καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Πιλᾶτος
and be-heard and having-summoned them — Pilate
λέγει· εἴπατέ μοι ὅτι πῶς δύναμαι ἐγὼ ἡγεμὼν ὢν βασιλέα
says tell me — how am-able I governor being (a)-king
ἐξετάσαι; λέγουσιν αὐτῷ· ἡμεῖς οὐ λέγομεν βασιλέα αὐτὸν
to-examine they-say to-him we not say (a)-king him
εἶναι, ἀλλ' αὐτὸς ἑαυτὸν λέγει. προσκαλεσάμενος δὲ ὁ
to-be but he himself says(-so) having-summoned and —
Πιλᾶτος τὸν κούρσωρα λέγει αὐτῷ· μετὰ ἐπιεικείας ἀχθήτω
Pilate the runner says to-him with gentleness let-be-brought
ὁ Ἰησοῦς. ἐκβὰς δὲ ὁ κούρσωρ καὶ γνωρίσας αὐτὸν
— Jesus having-gone-out and the runner and having-recognized him

προσεκύνησεν, καὶ λαβὼν τὸ καθάπλωμα τῆς χειρὸς αὐτοῦ
worshiped(-him) and having-taken the kerchief of-the hand his
ἤπλωσεν χαμαὶ καὶ λέγει αὐτῷ· κύριε, ὧδε περιπάτησον
spread(-it) on-the-ground and says to-him lord here walk
καὶ εἴσελθε, ὅτι καλεῖ σε ὁ ἡγεμών. ἰδόντες δὲ οἱ Ἰουδαῖοι
and enter for calls you the governor having-seen and the Jews
ὃ ἐποίησεν ὁ κούρσωρ, κατέκραξαν τοῦ Πιλάτου λέγοντες·
what did the runner cried-out-against — Pilate saying
διατί ὑπὸ πραίκωνος αὐτὸν οὐκ ἐκέλευσας εἰσελθεῖν ἀλλ᾽
why by (a)-herald him not did-you-order to-enter but
ὑπὸ κούρσωρος; καὶ γὰρ ὁ κούρσωρ θεασάμενος αὐτὸν
by (a)-runner and for the runner having-beheld him
προσεκύνησε, καὶ τὸ φακεώλιον αὐτοῦ ἤπλωσε χαμαὶ
worshiped(-him) and the kerchief his spread on-the-ground
καὶ ὡς βασιλέα αὐτὸν περιπατῆσαι πεποίηκεν. Ὁ δὲ
and as (a)-king him to-walk he-has-made — and
Πιλᾶτος μετακαλεσάμενος τὸν κούρσωρα λέγει αὐτῷ· τί
Pilate having-summoned the runner says to-him why
τοῦτο ἐποίησας, καὶ ἤπλωσας τὸ φακεώλιόν σου ἐπὶ τῆς
this did-you-do and spread the kerchief your on the
γῆς καὶ ἐπ᾽ αὐτῷ περιπατῆσαι πεποίηκας τὸν Ἰησοῦν;
ground and on it to-walk have-you-made — Jesus
λέγει αὐτῷ ὁ κούρσωρ· κύριε ἡγεμών, ὅτε με ἀπέστειλας
says to-him the runner lord governor when me you-sent
εἰς Ἱεροσόλυμα πρὸς τὸν Ἀλέξανδρον, εἶδον αὐτὸν
to Jerusalem to — Alexander I-saw him
καθήμενον ἐπὶ ὄνου, καὶ οἱ παῖδες τῶν Ἑβραίων κλάδους
sitting on (an)-ass and the children of-the Hebrews branches
κατεῖχον ἐν ταῖς χερσὶν αὐτῶν καὶ ἔκραζον, ἄλλοι δὲ
held in the hands their and cried(-out) others and
ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν λέγοντες· σῶσον δή,
spread the garments their saying save now

ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν
the(-one) in the highest blessed (is)-the(-one) coming in
ὀνόματι κυρίου. Κράζουσιν οἱ Ἰουδαῖοι λέγοντες πρὸς τὸν
(the)-name of-(the)-Lord cry-out the Jews saying to the
κούρσωρα· οἱ μὲν παῖδες τῶν Ἑβραίων ἑβραϊστὶ
runner the on-the-one-hand children of-the Hebrews in-Hebrew
ἔκραζον, πόθεν δὲ σοὶ τὸ ἑλληνιστί; λέγει αὐτοῖς ὁ
cried(-out) whence on-the-other to-you the in-Greek says to-them the
κούρσωρ· ἠρώτησά τινα τῶν Ἰουδαίων καὶ εἶπα· τί ἐστιν
runner I-asked one of-the Jews and said what is-it
ὃ κράζουσιν ἑβραϊστί; κἀκεῖνός μοι ἑρμήνευσεν. λέγει
which they-cry in-Hebrew and-he to-me interpreted(-it) says
αὐτοῖς ὁ Πιλᾶτος· πῶς δὲ ἔκραζον ἑβραϊστί; λέγουσιν
to-them — Pilate how and did-they-cry in-Hebrew say
αὐτῷ οἱ Ἰουδαῖοι· ὡσαννὰ μεμβρομῆ βαρουχαμμᾶ ἀδοναΐ.
to-him the Jews hosanna membrome barouchamma adonai
λέγει αὐτοῖς ὁ Πιλᾶτος· καὶ τὸ ὡσαννὰ καὶ τὰ λοιπὰ
says to-them — Pilate and the hosanna and the rest
τί ἑρμηνεύεται; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι· σῶσον δή,
how is-it-interpreted say to-him the Jews save now
ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος
the(-one) in the highest blessed (is)-the(-one) coming
ἐν ὀνόματι κυρίου. λέγει αὐτοῖς ὁ Πιλᾶτος· εἰ ὑμεῖς
in (the)-name of-(the)-Lord says to-them — Pilate if you
μαρτυρεῖτε τὰς φωνὰς τὰς παρὰ τῶν παίδων λεχθείσας,
bear-witness-to the words the(-ones) by the children spoken
τί ἥμαρτεν ὁ κούρσωρ; οἱ δὲ ἐσιώπησαν. λέγει ὁ
what has-sinned the runner they and were-silent says the
ἡγεμὼν τῷ κούρσωρι· ἔξελθε καὶ οἵῳ βούλει τρόπῳ
governor to-the runner go-out and in-whatever you-wish manner
εἰσάγαγε αὐτόν. ἐκβὰς δὲ ὁ κούρσωρ ἐποίησεν τὸ
bring-in him having-gone-out and the runner did the

σχῆμα τὸ πρῶτον καὶ λέγει τῷ Ἰησοῦ· κύριε, εἴσελθε·
form the first and says — to-Jesus lord enter
ὁ ἡγεμών σε καλεῖ. Εἰσελθόντος δὲ τοῦ Ἰησοῦ καὶ
the governor you calls having-entered and — Jesus and
τῶν σιγνοφόρων κατεχόντων τὰ σίγνα, ἐκάμφθησαν αἱ
to-me this is Enoch the witness of-the last day
21 καὶ λέγει μοι ὁ ἄγγελος· βλέπε, ὅσα σοι ὑποδεικνύω
and says to-me the angel see what-things to-you I-show
ἐν τῷ τόπῳ τούτῳ, μὴ ἀναγγείλῃς αὐτά, πλὴν ἅπερ
in the place this not announce them except what
λέγω σοι. καὶ ἔστησέν με ἐπάνω τοῦ ποταμοῦ, οὗ ἡ
I-tell you and he-set me above the river whose the
ἀρχὴ ἐστήρικτο εἰς τὸν κύκλον τοῦ οὐρανοῦ· ὁ δὲ
beginning was-fixed on the circle of-the heaven the and
ποταμός ἐστιν οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν.
river is this(-one) the(-one) encircling all the earth
καὶ λέγει μοι· οὗτος ὁ ποταμὸς ὠκεανός ἐστιν. καὶ
and he-says to-me this the river ocean is and
ἦν ἐκεῖ φῶς μέγα. καὶ εἶπα· κύριε, τί ἐστι τοῦτο;
there-was there (a)-light great and I-said lord what is this
καὶ εἶπέν μοι· αὕτη ἐστὶν ἡ γῆ τῶν πραέων. ἢ οὐκ
and he-said to-me this is the land of-the meek or not
οἶδας ὅτι γέγραπται· μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ
you-know that it-is-written blessed (are)-the meek for they
κληρονομήσουσιν τὴν γῆν; αἱ οὖν ψυχαὶ τῶν δικαίων ἐν
shall-inherit the earth the then souls of-the righteous in
τῷ τόπῳ τούτῳ φυλάττονται. καὶ εἶπα τῷ ἀγγέλῳ· πότε
the place this are-kept and I-said to-the angel when

οὖν φανεραὶ γενήσονται; καὶ εἶπέν μοι· ὅταν ἔλθῃ ἐν τῇ
then manifest will-they-become and he-said to-me when he-comes on the
ἡμέρᾳ τῆς ἀναστάσεως καὶ καθίσῃ ὁ κριτής· τότε οὖν
day of-the resurrection and sits the judge then therefore
προστάξει καὶ ἀποκαλύψει τὴν γῆν, καὶ αὐτὴ ἀναλάμψει,
he-will-command and reveal the earth and it will-shine-forth
καὶ ἀναφάνωσιν ἐν αὐτῇ οἱ ἅγιοι καὶ κατατρυφήσωσιν ἐν
and appear on it the saints and delight in
τοῖς ἀγαθοῖς τοῖς ἀποκειμένοις ἀπὸ καταβολῆς κόσμου.
the good(-things) the(-ones) laid-up from (the)-foundation of-(the)-world
καὶ ἦσαν παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ δένδρα 22
and there-were by the bank of-the river trees
πεφυτευμένα πλήρεις καρπῶν διαφόρων· καὶ ἐπέβλεψα ἐξ
planted full of-fruits various and I-looked from
ἡλίου ἀνατολῶν, καὶ ἴδον ἐκεῖ δένδρα πανμεγέθη πλήρεις
(the)-sun's risings and saw there trees very-great full
καρπῶν· ἦν δὲ ἡ γῆ ἐκείνη λαμπροτέρα ἀργυρίου καὶ
of-fruits was and the land that brighter than-silver and
χρυσίου, καὶ ἦσαν ἐν ταῖς φοίνιξιν ἐκείναις ἀναδενδράδες,
gold and there-were on the palms those vines
καὶ μυρίοι ἀκρεμόνες καὶ μυρίοι βότρυες ἐφ' ἑκάστου
and ten-thousand branches and ten-thousand clusters on each
κλήματος. καὶ εἶπα τῷ ἀρχαγγέλῳ· τί ἐστιν τοῦτο, κύριε;
vine-shoot and I-said to-the archangel what is this lord
καὶ λέγει μοι· αὕτη ἐστὶν ἡ ἀχέρουσα λίμνη, καὶ ἔσωθεν
and he-says to-me this is the Acherusian lake and within
αὐτῆς ἡ πόλις τοῦ θεοῦ. οὐ πάντες δὲ συγχωροῦνται
it the city — of-God not all but are-permitted
εἰσελθεῖν ἐν αὐτῇ, πλὴν ἐάν τις μετανοήσῃ ἀπὸ τῶν
to-enter into it except if anyone repent from the
ἁμαρτιῶν αὐτοῦ· ὅταν δὲ μετανοήσῃ καὶ μετασταθῇ τοῦ
sins his when but he-repents and is-removed from-the

βίου, παραδίδοται τῷ Μιχαήλ, καὶ βάλλουσιν αὐτὸν εἰς
life he-is-handed-over — to-Michael and they-cast him into
τὴν ἀχέρουσαν λίμνην. καὶ λοιπὸν εἰσφέρει αὐτὸν εἰς τὴν
the Acherusian lake and then he-brings-in him into the
πόλιν τοῦ θεοῦ πλησίον τῶν δικαίων. ἐγὼ δὲ ἐθαύμασα,
city — of-God near the righteous I and marveled
καὶ εὐλόγησα τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἴδον.
and blessed — God for all which I-saw
23 καὶ εἶπεν πρός με ὁ ἄγγελος· ἀκολούθει μοι, ἵνα εἰσάξω
and said to me the angel follow me that I-may-lead
σε εἰς τὴν πόλιν τοῦ θεοῦ καὶ εἰς τὸ φῶς αὐτῆς. τὸ
you into the city — of-God and into the light its the
δὲ φῶς αὐτῆς ὑπὲρ τὸ φῶς τοῦ κόσμου καὶ ὑπὲρ τὸ
and light its (is)-beyond the light of-the world and beyond the
χρυσίον, καὶ τείχη ἐκύκλουν αὐτήν. τὸ δὲ μῆκος καὶ τὸ
gold and walls encircled it the and length and the
πλάτος αὐτῆς σταδίων ἑκατόν. καὶ ἴδον δώδεκα πύλας
breadth its of-stades (a)-hundred and I-saw twelve gates
κεκοσμημένας σφόδρα φερούσας εἰς τὴν πόλιν, καὶ ποταμοὶ
adorned greatly leading into the city and rivers
τέσσαρες ἐκύκλουν αὐτήν, ῥέοντες μέλι καὶ γάλα καὶ
four encircled it flowing (with)-honey and milk and
ἔλαιον καὶ οἶνον. καὶ εἶπον τῷ ἀγγέλῳ· κύριε, τίνες οἱ
oil and wine and I-said to-the angel lord what (are)-the
ποταμοὶ οὗτοι; καὶ εἶπέν μοι· οὗτοι οἱ δίκαιοι ἐν τῷ κόσμῳ
rivers these and he-said to-me these the righteous in the world
ὄντες οὐκ ἐχρήσαντο τούτοις, ἀλλ' ἐταπείνωσαν ἑαυτοὺς
being not used these(-things) but humbled themselves
διὰ τὸν θεόν· ἐνταῦθα δὲ μυριοπλάσιον ἀντιλαμβάνουσιν.
because-of — God here but ten-thousandfold they-receive-in-return

Ἐγὼ δὲ εἰσερχόμενος εἰς τὴν πόλιν εἶδον δένδρον λίαν 24
I and entering into the city saw (a)-tree very
ὑψηλὸν πρὸ τῶν θυρῶν τῆς πόλεως μὴ ἔχοντα καρπόν,
high before the doors of-the city not having fruit
καὶ ὀλίγους ἄνδρας ὑποκάτω αὐτοῦ, καὶ ἔκλαιον σφόδρα,
and few men under it and they-wept greatly
καὶ συνέκυπτον αὐτοῖς τὰ δένδρα. καὶ ἰδὼν αὐτοὺς
and bent-down to-them the trees and having-seen them
ἔκλαυσα, καὶ ἐπερώτησα τὸν ἄγγελον· τίνες εἰσὶν οὗτοι,
I-wept and asked the angel who are these
ὅτι οὐκ ἐτράπησαν ἐλθεῖν ἐν τῇ πόλει; καὶ εἶπέν μοι·
that not they-turned to-come into the city and he-said to-me
ναί. ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ κενοδοξία. καὶ
yes (the)-root of-all the evils is the vainglory and
εἶπον· καὶ τὰ δένδρα ταῦτα διὰ τί οὕτως ἐταπείνωσαν
I-said and the trees these for what thus humbled
ἑαυτά; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπέν μοι ὅτι διὰ
themselves and answering the angel said to-me that for
τοῦτό εἰσιν τὰ δένδρα μὴ καρποφοροῦντα, διὰ τὸ μὴ
this are the trees not bearing-fruit because-of the not
ἀποστῆναι αὐτοὺς ἐκ τῆς ὑπερηφανίας. καὶ ἐπερώτησα
to-depart them from the pride and I-asked
τὸν ἄγγελον· κύριε, διὰ τίνα χάριν πρὸ τῶν θυρῶν τῆς
the angel lord for what reason before the doors of-the
πόλεως ἀπετέθησαν; καὶ ἀποκριθεὶς εἶπέν μοι· διὰ τὴν
city were-they-set-aside and answering he-said to-me because-of the
πολλὴν ἀγαθότητα τοῦ θεοῦ, ἐπειδὴ ἔνθεν μέλλει ἔρχεσθαι
great goodness — of-God since from-here is-about to-come
ὁ Χριστὸς εἰς τὴν πόλιν, καὶ ἵνα οἱ συνερχόμενοι
— Christ into the city and that the(-ones) coming-together
πρεσβεύουσιν ὑπὲρ τούτων, καὶ εἰσαχθήσονται σὺν αὐτοῖς.
may-intercede for these and they-shall-be-brought-in with them

25 ἐγὼ δὲ ἐπορευόμην ὁδηγούμενος ὑπὸ τοῦ ἀγγέλου, καὶ
I and was-going guided by the angel and
ἔστησέν με ἐπάνω τοῦ ποταμοῦ. καὶ ἴδον ἐκεῖ πάντας
he-set me above the river and saw there all
τοὺς προφήτας· καὶ ἐλθόντες ἠσπάσαντό με λέγοντες·
the prophets and having-come they-greeted me saying
χαίροις, Παῦλε, ἀγαπητὲ τοῦ θεοῦ. ἐγὼ δὲ εἶπον τῷ
hail Paul beloved — of-God I and said to-the
ἀγγέλῳ· κύριε, τίνες εἰσὶν οὗτοι; καὶ εἶπέν μοι· οὗτοί
angel lord who are these and he-said to-me these
εἰσιν πάντες οἱ προφῆται, καὶ αἱ ᾠδαὶ αὗται πασῶν
are all the prophets and the songs these of-all
τῶν προφητειῶν, καὶ ὅστις ἐλύπησε τὴν ψυχὴν αὐτοῦ μὴ
the prophecies and whoever grieved the soul his not
ποιήσας τὸ θέλημα αὐτῆς διὰ τὸν θεόν· ἐξερχόμενος
having-done the will its for-the-sake-of — God going-out
οὖν ἔρχεται ἐνταῦθα, καὶ ἀσπάζονται αὐτὸν οἱ προφῆται.
then comes here and greet him the prophets
26 καὶ ἀπήγαγέν με ὁ ἄγγελος ἐκ νότου τῆς πόλεως,
and led me the angel from (the)-south of-the city
ἔνθα ἐστὶν ὁ ποταμὸς τοῦ γάλακτος. καὶ ἴδον ἐκεῖ πάντα
where is the river of-the milk and I-saw there all
τὰ νήπια ἅπερ ἀπέκτεινεν ὁ βασιλεὺς Ἡρώδης διὰ τὸ
the infants which killed the king Herod for the
ὄνομα τοῦ κυρίου.
name of-the Lord
27 καὶ ἦρέν με πάλιν ὁ ἄγγελος ἐξ ἀμφηλίου πόλεως, καὶ ἴδον
and took me again the angel from (the)-east of-(the)-city and I-saw
ἐκεῖ τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ. καὶ ἐπηρώτησα
there — Abraham — Isaac — Jacob and I-asked
τὸν ἄγγελον· κύριε, τίς ὁ τόπος οὗτος; καὶ εἶπέν μοι·
the angel lord what (is)-the place this and he-said to-me

πᾶς ὅστις γίνεται φιλόξενος τοῖς ἀνθρώποις, ἐξερχόμενος
every(-one) who becomes hospitable to-the men going-out
ἐκ τοῦ κόσμου ἔρχεται ἐνταῦθα, καὶ ἀσπάζονται αὐτὸν
from the world comes here and they-greet him
ὡς φίλον τοῦ θεοῦ διὰ τὴν φιλοξενίαν.
as (a)-friend — of-God because-of the hospitality
καὶ πάλιν ἀπήγαγέν με εἰς ἕτερον τόπον, καὶ ἴδον ἐκεῖ 28
and again he-led me to another place and I-saw there
ποταμὸν ἐλαιόμορφον ἐκ βορρᾶ τῆς πόλεως, καὶ ἴδον ἐκεῖ
(a)-river oil-formed from (the)-north of-the city and I-saw there
εὐφραινομένους καὶ ψάλλοντας. καὶ ἠρώτησα· τίνες εἰσὶν
(people)-rejoicing and singing-psalms and I-asked who are
οὗτοι, κύριε; καὶ εἶπέν μοι· οὗτοί εἰσιν οἱ ἀναθέμενοι
these lord and he-said to-me these are the(-ones) having-dedicated
ἑαυτοὺς τῷ θεῷ· οὗτοι γὰρ εἰσάγονται ἐν τῇ πόλει ταύτῃ.
themselves — to-God these for are-brought-in into the city this
καὶ ἐπέβλεψα, καὶ ἴδον μέσον τῆς πόλεως θυσιαστήριον 29
and I-looked and saw (in-the)-midst of-the city (an)-altar
μέγα καὶ ὑψηλὸν σφόδρα· καὶ ἦν τις ἑστὼς πλησίον
great and high very and there-was someone standing near
τοῦ θυσιαστηρίου, οὗ τὸ πρόσωπον ἔλαμπεν ὡς ὁ
the altar whose the face shone like the
ἥλιος, καὶ κατεῖχεν ἐν ταῖς χερσὶν αὐτοῦ ψαλτήριον
sun and he-held in the hands his (a)-psaltery
καὶ κιθάραν, καὶ ἔψαλλεν τερπνῶς τὸ ἀλληλούϊα, καὶ
and (a)-harp and sang delightfully the alleluia and
ἡ φωνὴ αὐτοῦ ἐπλήρου πᾶσαν τὴν πόλιν· καὶ πάντες
the voice his filled all the city and all
ὁμοθυμαδὸν ὑπήκουον αὐτῷ, ὥστε σείεσθαι τὴν πόλιν
with-one-accord answered him so-that to-be-shaken the city
ἐκ τῆς κραυγῆς αὐτῶν. καὶ ἐπερώτησα τὸν ἄγγελον· τίς
by the shout their and I-asked the angel who

ἐστιν οὗτος ὁ ψάλλων τερπνῶς; οὗτινος ὑπακούουσιν
is this the(-one) singing delightfully whom answer
πάντες; καὶ εἶπέν μοι· οὗτός ἐστιν ὁ Δαυὶδ ὁ προφήτης·
all and he-said to-me this is — David the prophet
αὕτη ἐστὶν ἡ ἐπουράνιος Ἰερουσαλήμ. ὅτε οὖν ἔλθῃ ὁ
this is the heavenly Jerusalem when then comes —
Χριστὸς ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, αὐτὸς δὲ ὁ
Christ in the second his coming himself and —
Δαυὶδ ἐξέρχεται σὺν πᾶσι τοῖς ἁγίοις. ὥσπερ γὰρ γίνεται
David goes-out with all the saints as for it-happens
ἐν τοῖς οὐρανοῖς, οὕτως καὶ ἐπὶ γῆς· οὐ γὰρ ἐξὸν
in the heavens thus also on earth not for (it-is)-permitted
χωρὶς τοῦ Δαυὶδ ἀνενεγκεῖν θυσίαν καὶ ἐν τῇ ὥρᾳ τοῦ
without — David to-offer sacrifice and in the hour of-the
θυμιάματος τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ·
incense of-the precious body and blood — of-Christ
ἀλλὰ καὶ ἀναγκαῖον ψάλλειν τῷ Δαυὶδ τὸ ἀλληλούϊα.
but also necessary to-sing — for-David the alleluia

30 καὶ ἐπερώτησα τὸν ἄγγελον· κύριε, τί ἑρμηνεύεται τὸ
and I-asked the angel lord what is-interpreted the
ἀλληλούϊα; λέγεται Ἑβραϊστὶ θεβὲλ μαρημαθά, λαλιὰ τῷ
alleluia it-is-said in-Hebrew thebel marematha (a)-speech —
θεῷ τῷ θεμελιοῦντι τὰ πάντα, δοξάσωμεν αὐτὸν ἐπὶ
to-God the(-one) founding the all(-things) let-us-glorify him at
τὸ αὐτό. ὥστε πᾶς ὁ ψάλλων τὸ ἀλληλούϊα
the same(-time) so-that every(-one) the(-one) singing the alleluia
θεὸν δοξάζει.
God glorifies

31 Τούτων οὖν οὕτως λαληθέντων μοι ὑπὸ τοῦ ἀγγέλου
these then thus having-been-spoken to-me by the angel
ἐξήγαγέν με ἔξω τῆς πόλεως καὶ τῆς ἀχερούσης λίμνης
he-led me outside the city and the Acherusian lake

καὶ τῆς γῆς τῆς ἀγαθῆς, καὶ ἔστησέν με ἐπάνω τοῦ
and the land the good and set me above the
ποταμοῦ τοῦ ὠκεανοῦ τοῦ βαστάζοντος τὸ στερέωμα
river the ocean the(-one) bearing the firmament
τοῦ οὐρανοῦ, καὶ εἶπέν μοι· ἐπίστασαι ποῦ πορεύω; καὶ
of-the heaven and said to-me do-you-know where I-go and
εἶπον· οὐχί, κύριε. καὶ εἶπέν μοι· ἀκολούθει μοι, ἵνα σοι
I-said no lord and he-said to-me follow me that to-you
ὑποδείξω ἔνθα εἰσὶν αἱ ψυχαὶ τῶν ἀσεβῶν καὶ ἁμαρτωλῶν.
I-may-show where are the souls of-the impious and sinners
καὶ ἦρέν με ἐκ δυσμῶν ἡλίου, καὶ ἦν ἡ ἀρχὴ τοῦ
and he-took me from (the)-setting of-(the)-sun and was the beginning of-the
οὐρανοῦ τεθεμελιωμένη ἐπὶ τοῦ ποταμοῦ τοῦ ὠκεανοῦ.
heaven founded upon the river the ocean
καὶ ἴδον ἐπέκεινα τοῦ ποταμοῦ, καὶ οὐκ ἦν ἐκεῖ φῶς,
and I-saw beyond the river and not was there light
ἀλλὰ σκότος καὶ λύπη καὶ στεναγμός· καὶ ἴδον ποταμὸν
but darkness and grief and groaning and I-saw (a)-river
κοχλάζοντα, καὶ πολὺ πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν
boiling and (a)-great multitude of-men both and of-women
βεβλημένους ἐν αὐτῷ, τοὺς μὲν ἕως γονάτων,
cast in it the(-ones) on-the-one-hand to (the)-knees
τοὺς δὲ ἕως ὀμφαλοῦ, πολλοὺς δὲ καὶ ἕως κορυφῆς.
the(-ones) on-the-other to (the)-navel many and even to (the)-crown
καὶ ἐπερώτησα· τίνες εἰσὶν οὗτοι; καὶ εἶπέν μοι· οὗτοί εἰσιν
and I-asked who are these and he-said to-me these are
οἱ ἐν πορνείαις καὶ μοιχείαις ἀμετανόητοι ζήσαντες.
the(-ones) in fornications and adulteries unrepentant having-lived
καὶ ἴδον ἐκ λιβῶν τοῦ ποταμοῦ ἕτερον ποταμόν, ἔνθα 32
and I-saw from (the)-southwest of-the river another river where
ἐπέρρεεν ποταμὸς πύρινος, καὶ ἦν ἐκεῖ πλῆθος πολλῶν
flowed-in (a)-river fiery and there-was there (a)-multitude of-many

ψυχῶν. καὶ ἐπερώτησα τὸν ἄγγελον· τίνες εἰσὶν οὗτοι,
souls and I-asked the angel who are these
κύριε; καὶ εἶπέν μοι· οὗτοί εἰσιν οἱ κλέπται καὶ λοίδοροι καὶ
lord and he-said to-me these are the thieves and slanderers and
συκοφάνται, οἵτινες οὐκ ἔθεντο τὸν θεὸν βοηθὸν αὐτῶν, ἀλλ'
false-accusers who not made — God helper their but
ἤλπισαν ἐπὶ τῇ ματαιότητι τοῦ πλούτου αὐτῶν. καὶ εἶπον
hoped in the vanity of-the wealth their and I-said
πρὸς αὐτόν· πόσον βάθος ἐστὶν τοῦ ποταμοῦ τούτου; καὶ
to him how-great depth is of-the river this and
εἶπέν μοι· μέτρον οὐκ ἔχει τὸ βάθος, ἀλλὰ ἀμέτρητόν ἐστιν.
he-said to-me measure not has the depth but unmeasured it-is
33 ἐγὼ δὲ στενάξας ἔκλαυσα διὰ τὴν ἀνθρωπότητα. καὶ
I and having-groaned wept for the humankind and
εἶπέν μοι ὁ ἄγγελος· τί κλαίεις; μὴ σὺ ἐλεήμων
said to-me the angel why do-you-weep (is-it)-that you merciful
ὑπάρχεις ὑπὲρ τὸν θεόν; ἅγιος γὰρ ὢν ὁ θεὸς μετανοῶν
are beyond — God holy for being — God repenting
ἐπὶ τοῖς ἀνθρώποις ἀναμένει αὐτῶν τὴν ἐπιστροφὴν καὶ
over the men awaits their the turning and
μετάνοιαν· ἐκεῖνοι δὲ τῷ ἰδίῳ θελήματι ἀπατώμενοι
repentance they but by-the own will being-deceived
ἔρχονται ἐνταῦθα καὶ αἰωνίως κολάζονται.
come here and eternally are-punished
34 καὶ κατενόησα εἰς τὸν πύρινον ποταμόν, καὶ ἴδον
and I-observed into the fiery river and saw
ἄνθρωπον γηραλέον συρόμενον ὑπὸ δυῶν, ὃν ἐχάλασαν
(a)-man old dragged by two whom they-let-down
ἕως γονάτου. καὶ ἐλθὼν ὁ ἄγγελος ὁ Τεμελοῦχος
to (the)-knee and having-come the angel — Temeluchus
κατεῖχεν ἐν τῇ χειρὶ αὐτοῦ σίδηρον, καὶ ἐν αὐτῷ ἀνέφερεν
held in the hand his (an)-iron and with it he-drew-up

τὰ ἔντερα τοῦ γέροντος ἐκείνου διὰ τοῦ στόματος αὐτοῦ.
the entrails of-the old-man that through the mouth his
καὶ ἐπερώτησα τὸν ἄγγελον· κύριε, τίς ἐστιν οὗτος ὁ
and I-asked the angel lord who is this the(-one)
τὴν κόλασιν ταύτην ὑπομένων; καὶ εἶπέν μοι· οὗτος ὁ
the punishment this enduring and he-said to-me this the
γέρων ὃν ὁρᾷς πρεσβύτερος ἦν, καὶ ὅτε ἔτρωγεν καὶ
old-man whom you-see (a)-presbyter was and when he-ate and
ἔπινεν, τότε ἐλειτούργει τῷ θεῷ.
drank then he-ministered — to-God
καὶ ἴδον ἐκεῖ ἕτερον γέροντα φερόμενον ὑπὸ τεσσάρων 35
and I-saw there another old-man carried by four
ἀγγέλων σπουδαίως· καὶ ἐνέβαλλον αὐτὸν ἐν τῷ πυρίνῳ
angels hastily and they-threw him into the fiery
ποταμῷ ἕως τῆς ζώσεως, καὶ ἐφλέγετο δεινῶς ὑπὸ
river to the girdle and he-was-burned terribly by
ἀστραπῶν. καὶ εἶπον τῷ ἀγγέλῳ· τίς ἐστιν οὗτος, κύριε;
lightnings and I-said to-the angel who is this lord
καὶ εἶπέν μοι· οὗτος ὃν ὁρᾷς ἐπίσκοπος ἦν, καὶ τὸ
and he-said to-me this(-one) whom you-see (a)-bishop was and the
μὲν ὄνομα ἐκεῖνο ἐπησπάσατο εἶναι αὐτῷ, τῇ
on-the-one-hand name that he-drew to-be his in-the
δὲ ἀγαθοσύνῃ τοῦ θεοῦ οὐ περιεπάτησεν, κρίσιν
on-the-other goodness — of-God not he-walked judgment
δικαίαν οὐκ ἔκρινεν, χήραν καὶ ὀρφανὸν οὐκ ἠλέησεν,
just not he-judged (the)-widow and orphan not he-pitied
οὐδὲ ἦν ἀγαπητικὸς οὐδὲ φιλόξενος· νῦν δὲ ἀπεδόθη
nor was-he loving nor hospitable now but it-has-been-rendered
αὐτῷ κατὰ τὰ ἔργα αὐτοῦ.
to-him according-to the works his

36 καὶ ἔβλεψα, καὶ ἴδον μέσον τοῦ ποταμοῦ ἕτερον
and I-looked and saw (in-the)-midst of-the river another
ἄνθρωπον ἕως ὀμφαλοῦ ἔχοντα τὰς χεῖρας ὁλαιμάτους,
man to (the)-navel having the hands all-bloody
καὶ σκώληκες ἀνήρχοντο διὰ τοῦ στόματος αὐτοῦ. καὶ
and worms came-up through the mouth his and
ἐπερώτησα τὸν ἄγγελον· τίς ἐστιν οὗτος, κύριε; καὶ εἶπέν
I-asked the angel who is this lord and he-said
μοι· οὗτος ὃν βλέπεις διάκονος ἦν, ὅστις ἔτρωγεν καὶ
to-me this(-one) whom you-see (a)-deacon was who ate and
ἔπινεν καὶ διηκόνει τῷ θεῷ.
drank and ministered — to-God

37 καὶ ἴδον εἰς ἕτερον τόπον, ἔνθα ἦν τεῖχος χαλκοῦν
and I-saw into another place where was (a)-wall bronze
πεπυρωμένον, καὶ ἔσωθεν αὐτοῦ ἄνδρας καὶ γυναῖκας
fired and within it men and women
κατεσθίοντας τὰς γλώσσας αὐτῶν, δεινῶς κρινομένους.
devouring the tongues their terribly being-judged
καὶ ἐπερώτησα τὸν ἄγγελον· τίνες οὗτοι, κύριε; καὶ εἶπέν
and I-asked the angel who (are)-these lord and he-said
μοι· οὗτοί εἰσιν οἱ καταλαλοῦντες εἰς τὴν ἐκκλησίαν
to-me these are the(-ones) slandering in the church
τῶν πλησίον αὐτῶν καὶ μὴ προσέχοντες ἑαυτοῖς τὸν
the neighbors their and not attending (in)-themselves (to)-the
λόγον τοῦ θεοῦ.
word — of-God

38 καὶ ἐπέβλεψα, καὶ ἴδον βόθυνον αἱματωμένον. καὶ εἶπον· τί
and I-looked and saw (a)-pit bloodied and I-said what
ἐστιν ὁ βόθυνος οὗτος; καὶ εἶπέν μοι· οὗτός ἐστιν ὁ τόπος
is the pit this and he-said to-me this is the place

ἔνθα βλήσκονται οἱ φάρμακοι καὶ γόητες, καὶ οἱ πόρνοι
where are-cast the sorcerers and enchanters and the fornicators
καὶ οἱ μοιχοί, καὶ οἱ πνίγοντες χήρας καὶ ὀρφανούς.
and the adulterers and the(-ones) choking widows and orphans
καὶ εἶδον εἰς ἕτερον τόπον γυναῖκας φορούσας μέλανα καὶ 39
and I-saw in another place women wearing black and
ἀπαγομένας ἐν τόπῳ σκοτινῷ. καὶ ἠρώτησα· τίνες οὗτοι,
led-away into (a)-place dark and I-asked who (are)-these
κύριε; καὶ εἶπέν μοι· αὗταί εἰσιν αἳ οὐκ ἤκουσαν
lord and he-said to-me these are (they)-who not heard
τῶν γονέων αὐτῶν, ἀλλὰ πρὸ τῶν γάμων ἐμίαναν τὴν
the parents their but before the marriage defiled the
παρθενίαν αὐτῶν.
virginity their
καὶ εἶδον γυναῖκας φορούσας στολὰς λευκάς, τυφλὰς δὲ 40
and I-saw women wearing robes white blind but
οὔσας, καὶ ἐπιστήκοντας ἐπάνω ὀβελίσκων πυρίνων, καὶ
being and standing upon spits fiery and
ἄγγελος ἀνιλέως ἔπλησσεν αὐτὰς λέγων· νῦν ἐγνώκατε ποῦ
(an)-angel merciless struck them saying now you-know where
ἔστε· ἀναγινωσκομένων ὑμῖν τῶν γραφῶν οὐ συνήκατε. καὶ
you-are being-read to-you the scriptures not you-understood and
εἶπεν πρός με ὁ ἄγγελος· αὗταί εἰσιν αἱ φθείρασαι
said to me the angel these are the(-ones) having-corrupted
ἑαυτὰς καὶ τὰ βρέφη αὐτῶν ἀποκτείνασαι. ἦλθον οὖν
themselves and the babes their having-killed came then
τὰ βρέφη κράζοντα· ἐκδίκησον ἡμᾶς ἐκ τῶν μητέρων
the babes crying avenge us on the mothers
ἡμῶν. καὶ ἐδόθησαν αὐτὰ ἀγγέλῳ ἀπενεχθῆναι αὐτὰ εἰς
our and were-given they to-(an)-angel to-be-carried-off they into
εὐρύχωρον τόπον, τοὺς δὲ γονεῖς αὐτῶν εἰς αἰώνιον πῦρ.
(a)-spacious place the but parents their into everlasting fire

41 Καὶ ἐπῆρέν με ὁ ἄγγελος ἐκ τούτων τῶν κολάσεων καὶ
and lifted me the angel from these the punishments and
ἔστησέν με ἐπάνω φρέατος, ὃ εἶχεν ἐπὶ τοῦ στόματος
set me above (a)-well which had on the mouth
αὐτοῦ σφραγῖδας ἑπτά. καὶ εἶπεν ὁ ἄγγελος, ὃς ἦν μετ᾽ ἐμοῦ,
its seals seven and said the angel who was with me
πρὸς τὸν ἄγγελον τὸν ἐπὶ τοῦ φρέατος τοῦ τόπου ἐκείνου·
to the angel the(-one) over the well of-the place that
ἄνοιξον τὸ φρέαρ, ἵνα ἴδῃ ὁ ἀγαπητὸς τοῦ θεοῦ Παῦλος,
open the well that may-see the beloved — of-God Paul
ὅτι ἐδόθη αὐτῷ ἐξουσία θεωρῆσαι τὰς κολάσεις. καὶ εἶπέν
for was-given him authority to-behold the punishments and said
μοι ὁ ἄγγελος τοῦ τόπου· στῆθι μακράν, μέχρις ἂν ἀνοίξω
to-me the angel of-the place stand far-off until — I-open
τὰς σφραγῖδας. καὶ ἀνοίξαντος αὐτοῦ ἐξῆλθεν δυσωδία,
the seals and having-opened he came-out (a)-stench
ἣν οὐκ ἦν ἐπενεγκεῖν. καὶ πλησιάσας τοῦ τόπου ἴδον τὸ
which not was to-bear and having-drawn-near to-the place I-saw the
φρέαρ ἐκεῖνο σκότους καὶ ζόφους πεπληρωμένον, καὶ πολλὴν
well that of-darkness and gloom filled and much
στενοχωρίαν ἐν αὐτῷ. καὶ εἶπεν πρός με ὁ σὺν ἐμοὶ ἄγγελος·
distress in it and said to me the with me angel
οὗτος ὁ τόπος τοῦ φρέατος ὃν ὁρᾷς ἀπόβλητός ἐστιν τῆς
this the place of-the well which you-see cast-away is from-the
δόξης τοῦ θεοῦ, καὶ οὐδεὶς τῶν ἀγγέλων δυσωπεῖ ὑπὲρ αὐτῶν·
glory — of-God and no-one of-the angels entreats for them
καὶ ὅσοι οὐχ ὡμολόγησαν θεοτόκον τὴν ἁγίαν Μαρίαν,
and as-many-as not confessed (as)-God-bearer the holy Mary
καὶ ὅτι οὐκ ἐνηνθρώπησεν ἐξ αὐτῆς ὁ κύριος, καὶ ὅτι ὁ
and that not became-man from her the Lord and that the
ἄρτος τῆς εὐχαριστίας καὶ τὸ ποτήριον τῆς εὐλογίας οὐκ
bread of-the thanksgiving and the cup of-the blessing not

ἐστὶν αὐτοῦ σὰρξ καὶ αἷμα, ἐν τῷ φρέατι τούτῳ βλήσκονται·
is his flesh and blood into the well this are-cast
καὶ ὡς προεῖπον, οὐδεὶς ἄγγελος δυσωπεῖ ὑπὲρ αὐτῶν.
and as I-said-before no angel entreats for them
καὶ ἴδον πρὸς δυσμὰς ἡλίου, ἔνθα ἐστὶν ὁ κλαυθμὸς καὶ 42
and I-saw toward (the)-setting of-(the)-sun where is the weeping and
ὁ βρυγμὸς τῶν ὀδόντων, ἄνδρας πολλοὺς καὶ γυναῖκας ἐκεῖ
the gnashing of-the teeth men many and women there
βασανιζομένους. καὶ εἶπον τῷ ἀγγέλῳ· τίνες οὗτοι, κύριε;
being-tormented and I-said to-the angel who (are)-these lord
καὶ εἶπέν μοι· οὗτοί εἰσιν οἱ λέγοντες ὅτι οὐκ ἔστιν
and he-said to-me these are the(-ones) saying that not there-is
ἀνάστασις νεκρῶν· καὶ οὐδέποτε γίνεται εἰς αὐτοὺς ἔλεος.
(a)-resurrection of-(the)-dead and never comes to them mercy
Ταῦτα ἀκούσας ἐγὼ ἔκλαυσα πικρῶς. καὶ ἀτενίσας εἰς 43
these(-things) having-heard I wept bitterly and having-gazed into
τὸ στερέωμα ἴδον τὸν οὐρανὸν ἀνεῳγότα, καὶ Γαβριὴλ τὸν
the firmament saw the heaven opened and Gabriel the
ἀρχάγγελον κατελθόντα μετὰ στρατιᾶς ἀγγέλων, οἵτινες
archangel having-come-down with (a)-host of-angels who
ἐγύρευσαν πάσας τὰς κολάσεις. καὶ ἰδόντες οἱ ἐν
searched all the punishments and having-seen(-them) the(-ones) in
ταῖς κολάσεσιν κρινόμενοι ἀνεβόησαν πάντες μιᾷ φωνῇ
the punishments being-judged cried-out all with-one voice
μεγάλῃ· ἐλέησον ἡμᾶς, Γαβριήλ, ὁ παρεστηκὼς
loud have-mercy-on us Gabriel the(-one) standing
ἐνώπιον τοῦ θεοῦ· ἠκούσαμεν γὰρ ὅτι ἔστιν κρίσις· ἰδοὺ
before — God we-heard for that there-is judgment behold
ἐγνώκαμεν αὐτήν. καὶ ἀποκριθεὶς ὁ ἀρχάγγελος Γαβριὴλ
we-have-known it and answering the archangel Gabriel
εἶπεν· ζῇ κύριος, ᾧ παρίσταμαι, νύκταν καὶ ἡμέραν
said lives (the)-Lord before-whom I-stand night and day

ἀδιαλείπτως πρεσβεύω ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων·
unceasingly I-intercede for the race of-the men
ἀλλ᾽ οὐκ ἐποίησάν τι ἀγαθὸν ἐν τῷ βίῳ ὄντες, ἀλλ᾽
but not they-did anything good in the life being but
ἐν ματαιότητι ἀνήλωσαν τὸν βίον τῆς ζωῆς αὐτῶν. νῦν δὲ
in vanity spent the course of-the life their now but
κλαύσω κἀγὼ σὺν τῷ ἀγαπητῷ Παύλῳ· ἴσως σπλαγχνισθῇ
I-will-weep I-too with the beloved Paul perhaps may-have-compassion
ὁ ἀγαθὸς κύριος καὶ δῴη ὑμῖν ἄνεσιν. ὑπήκουσαν δὲ μιᾷ
the good Lord and give you relief they-answered and with-one
φωνῇ· ἐλέησον ἡμᾶς, κύριε. καὶ προσέπεσαν ἐνώπιον τοῦ
voice have-mercy-on us Lord and fell-down before —
θεοῦ καὶ ἱκέτευον λέγοντες· ἐλέησον, κύριε, τοὺς υἱοὺς
God and besought saying have-mercy Lord (on)-the sons
τῶν ἀνθρώπων, οὓς ἔπλασας κατ᾽ εἰκόνα σήν.
of-the men whom you-formed according-to (the)-image your
44 καὶ συνεσείσθη ὁ οὐρανὸς ὡς φύλλον, καὶ ἴδον τοὺς
and was-shaken the heaven like (a)-leaf and I-saw the
κδ΄ πρεσβυτέρους κειμένους ἐπὶ πρόσωπον, καὶ ἴδον
twenty-four elders lying on (their)-face and I-saw
τὸ θυσιαστήριον καὶ τὸν θρόνον καὶ τὸ καταπέτασμα, καὶ
the altar and the throne and the veil and
πάντα παρεκάλουν τὴν δόξαν τοῦ θεοῦ· καὶ ἴδον τὸν υἱὸν
all besought the glory — of-God and I-saw the son
τοῦ θεοῦ μετὰ δόξης καὶ ἰσχύος πολλῆς κατερχόμενον ἐπὶ
— of-God with glory and power much coming-down upon
τῆς γῆς. καὶ ὡς ἐγένετο ὁ ἦχος τῆς σάλπιγγος, ἀνεβόησαν
the earth and as came the sound of-the trumpet cried-out
πάντες οἱ ἐν ταῖς κολάσεσιν λέγοντες· ἐλέησον ἡμᾶς,
all the(-ones) in the punishments saying have-mercy-on us
υἱὲ τοῦ θεοῦ· σοὶ γὰρ ἐδόθη ἐξουσία τῶν οὐρανίων καὶ
son — of-God to-you for was-given authority of-the heavenly(-things) and

ἐπιγείων καὶ καταχθονίων. καὶ ἦλθεν φωνὴ λέγουσα· ποῖον
earthly and under-the-earth and came (a)-voice saying what
ἔργον ἀγαθὸν ἐποιήσατε, ὅτι αἰτεῖσθε ἀνάπαυσιν; ἐπράξατε
work good did-you-do that you-ask rest you-did
ὡς ἠθελήσατε καὶ οὐκ ἐμετανοήσατε, ἀλλ' ἐν ἀσωτίαις τὸν
as you-wished and not you-repented but in profligacies the
βίον ὑμῶν ἀνηλώσατε. νῦν δὲ διὰ Γαβριὴλ τὸν ἄγγελον
life your you-spent now but for-the-sake-of Gabriel the angel
τῆς δικαιοσύνης μου καὶ διὰ Παῦλον τὸν ἀγαπητόν
of-the righteousness my and for-the-sake-of Paul the beloved
μου δίδωμι ὑμῖν νύκταν καὶ τὴν ἡμέραν τῆς ἁγίας κυριακῆς,
my I-give you (the)-night and the day of-the holy Lord's-day
ἐν ᾗ ἠγέρθην ἐκ νεκρῶν, εἰς ἀνάπαυσιν. καὶ ἀνεβόησαν
in which I-was-raised from (the)-dead for rest and cried-out
πάντες οἱ ἐν ταῖς κολάσεσιν λέγοντες· εὐλογοῦμέν σε, υἱὲ
all the(-ones) in the punishments saying we-bless you son
τοῦ θεοῦ τοῦ ζῶντος· βέλτιον ἡμῖν ἡ τοιαύτη ἀνάπαυσις
— *of-God the living better for-us (is)-the such rest*
ἢ τὴν ζωὴν ἣν ἐζήσαμεν ἐν τῷ κόσμῳ πολιτευόμενοι.
than the life which we-lived in the world conducting-ourselves
Καὶ μετὰ ταῦτα λέγει μοι ὁ ἄγγελος· ἰδού, ἴδες πάσας 45
and after these(-things) says to-me the angel behold you-saw all
τὰς κολάσεις· δεῦρο ἀκολούθει μοι, ἵνα σε ἀπάγω εἰς τὸν
the punishments come follow me that you I-may-lead into the
παράδεισον, καὶ μεταβάλλῃς τὴν ψυχήν σου τῇ θεωρίᾳ
paradise and you-may-change the soul your by-the sight
τῶν δικαίων· πολλοὶ γὰρ ἐπιθυμοῦσιν τοῦ ἀσπάσασθαί σε.
of-the righteous many for desire of-the to-greet you
καὶ ἔλαβέν με ἐν ῥιπῇ τοῦ πνεύματος, καὶ εἰσήγαγέν με εἰς
and he-took me in (a)-gust of-the wind and led me into
τὸν παράδεισον. καὶ λέγει μοι· οὗτός ἐστιν ὁ παράδεισος,
the paradise and says to-me this is the paradise

ἔνθα παρέβησαν Ἀδὰμ καὶ ἡ Εὔα. καὶ ἴδον ἐκεῖ δένδρον
where transgressed Adam and — Eve and I-saw there (a)-tree
παμμεγέθη ὡραῖον, ἐν ᾧ ἐπανεπαύετο τὸ πνεῦμα τὸ ἅγιον,
very-great beautiful on which rested the spirit the holy
καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ἐξήρχετο πᾶν εὐωδέστατον ὕδωρ,
and from the root its came-forth all most-fragrant water
μεριζόμενον εἰς τέσσαρα ὀρύγματα. καὶ εἶπα τῷ ἀγγέλῳ·
divided into four channels and I-said to-the angel
κύριε, τί ἐστιν τοῦτο τὸ δένδρον, ὅτι ἐξέρχεται ἐξ αὐτοῦ
lord what is this the tree that comes-out from it
πολὺ πλῆθος τοῦ ὕδατος τούτου, καὶ ποῦ προχωρεῖ; καὶ
(a)-great multitude of-the water this and where does-it-go-forth and
ἀποκριθεὶς εἶπέν μοι· πρὶν γενέσθαι τὸν οὐρανὸν καὶ
answering he-said to-me before to-come-into-being the heaven and
τὴν γῆν διεμέρισεν αὐτὰ εἰς τέσσαρας ἀρχὰς καὶ κεφαλάς,
the earth he-divided them into four beginnings and heads
ὧν τὰ ὀνόματά εἰσιν Φεισών, Γεών, Τίγρις, Ἐφράτης. καὶ
whose the names are Pheison Geon Tigris Euphrates and
κρατήσας με πάλιν τῆς χειρὸς ἐπήγαγέν με πλησίον τοῦ
having-taken me again by-the hand he-led me near the
ξύλου τῆς γνώσεως ἀγαθοῦ καὶ πονηροῦ. καὶ λέγει μοι·
tree of-the knowledge of-good and evil and says to-me
τοῦτό ἐστιν τὸ δένδρον δι' οὗ ὁ θάνατος εἰσῆλθεν εἰς τὸν
this is the tree through which the death entered into the
κόσμον, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ ἔλαβεν Ἀδὰμ παρὰ τῆς
world and of the fruit its took Adam from the
γυναικὸς αὐτοῦ καὶ ἔφαγεν, καὶ λοιπὸν ἐξεβλήθησαν ἐντεῦθεν.
wife his and ate and then they-were-cast-out from-here
καὶ ὑπέδειξέν μοι ἕτερον δένδρον τῆς ζωῆς, καὶ εἶπέν μοι·
and he-showed me another tree of-the life and he-said to-me
τοῦτο φυλάττουσιν Χερουβὶμ καὶ ἡ φλογίνη ῥομφαία.
this guard (the)-Cherubim and the flaming sword

ἐμοῦ δὲ προσέχοντος τῷ ξύλῳ καὶ θαυμάζοντος, ἴδον 46
I and attending to-the tree and marveling I-saw
γυναῖκα ἀπὸ μακρόθεν ἐρχομένην καὶ πλῆθος ἀγγέλων
(a)-woman from afar coming and (a)-multitude of-angels
ὑμνούντων αὐτήν. καὶ ἐπηρώτησα τὸν ἄγγελον· τίς ἐστιν
hymning her and I-asked the angel who is
αὕτη, κύριε, ἡ ἐν τοσαύτῃ τιμῇ καὶ ὡραιότητι; καὶ λέγει
this lord the(-one) in such honor and beauty and says
μοι ὁ ἄγγελος· αὕτη ἐστὶν ἡ ἁγία Μαρία ἡ μήτηρ τοῦ
to-me the angel this is the holy Mary the mother of-the
κυρίου. καὶ ἐλθοῦσα ἠσπάσατό με λέγουσα· χαίροις, Παῦλε,
Lord and having-come she-greeted me saying hail Paul
ἀγαπητὲ τοῦ θεοῦ καὶ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων·
beloved — of-God and of-the angels and of-the men
σὺ τὸν λόγον τοῦ θεοῦ κατήγγειλας ἐν τῷ κόσμῳ, καὶ
you the word — of-God proclaimed in the world and
ἐκκλησίας συνέστησας, καὶ μαρτυροῦσίν σοι πάντες οἱ
churches established and testify to-you all the(-ones)
σωθέντες διὰ σοῦ· ῥυσθέντες γὰρ ἀπὸ τῆς πλάνης
saved through you having-been-delivered for from the error
τῶν εἰδώλων διὰ τῆς σῆς διδασκαλίας ἔρχονται ἐνταῦθα.
of-the idols through the your teaching they-come here
Ἔτι τούτων λαλούντων μετ᾽ ἐμοῦ, ἀτενίσας εἶδον ἄλλους 47
still these speaking with me having-gazed I-saw other
τρεῖς ἄνδρας ἐρχομένους. καὶ ἐπερώτησα τὸν ἄγγελον· τίνες
three men coming and I-asked the angel who
οὗτοι, κύριε; καὶ εἶπέν μοι· οὗτοί εἰσιν Ἀβραάμ, Ἰσαὰκ καὶ
(are)-these lord and he-said to-me these are Abraham Isaac and
Ἰακώβ, οἱ προπάτορες οἱ δίκαιοι. καὶ ἐλθόντες ἠσπάσαντό
Jacob the forefathers the righteous and having-come they-greeted
με λέγοντες· χαῖρε, Παῦλε, ἀγαπητὲ τοῦ θεοῦ *** ὁ
me saying hail Paul beloved — of-God (lacuna) —

θεὸς οὐκ ἐλύπησεν ἡμᾶς. ἀλλ᾽ οἴδαμέν σε ἐν σαρκὶ πρὶν
God not grieved us but we-know you in (the)-flesh before
ἐξελθεῖν σε ἐκ τοῦ κόσμου. καὶ ἀκολούθως εἴπασίν μοι
to-go-out you from the world and in-order they-told me
τὰ ὀνόματα αὐτῶν ἀπὸ Ἀβραὰμ ἕως Μανασσῆ. καὶ λέγει
the names their from Abraham to Manasseh and says
μοι εἷς ἐξ αὐτῶν, Ἰωσὴφ ὁ πραθεὶς ἐν Αἰγύπτῳ·
to-me one of them Joseph the(-one) sold into Egypt
ἄκουσόν μου, φίλε τοῦ θεοῦ Παῦλε· οὐκ ἀπέδωκα τοῖς
hear me friend — of-God Paul not I-repaid the
ἀδελφοῖς μου, οἳ κατηράσαντό με. μακάριος γὰρ ὁ
brothers my who cursed me blessed for (is)-the(-one)
δυνάμενος ὑπομεῖναι πειρασμόν, ὅτι κύριος ἀνταποδώσει
able to-endure temptation for (the)-Lord will-repay
αὐτῷ ἑπταπλασίονα τὸν μισθὸν ἐν τῷ μέλλοντι αἰῶνι.
him sevenfold the wage in the coming age
48 καὶ ἔτι τούτου λαλοῦντος μετ᾽ ἐμοῦ, ἴδον ἄλλον ἐρχόμενον
and still this(-one) speaking with me I-saw another coming
μακρόθεν, καὶ ἦν ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις ἀγγέλου.
from-afar and was the appearance his like (the)-appearance of-(an)-angel
καὶ ἐπερώτησα τὸν ἄγγελον λέγων· κύριε, τίς ἐστιν οὗτος;
and I-asked the angel saying lord who is this
καὶ εἶπέν μοι· οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ νομοθετήσας,
and he-said to-me this is — Moses the lawgiver
δι᾽ οὗ ὁ θεὸς ἐξήγαγεν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ δουλείας
through whom — God led-out the sons of-Israel from slavery
Αἰγύπτου. καὶ πλησίον μου γενάμενος ἠσπάσατό με
of-Egypt and near me having-come he-greeted me
κλαίων. καὶ εἶπον πρὸς αὐτόν· πάτερ, τί κλαίεις, δίκαιος
weeping and I-said to him father why do-you-weep righteous
ὢν καὶ πρᾷος; καὶ ἀποκριθεὶς εἶπέν μοι· κλαῦσαί με
being and meek and answering he-said to-me to-weep me

δεῖ ὑπὲρ πάντα ἄνθρωπον, ὅτι μόχθον κατέβαλλον
(it)-behooves for every man because toil I-spent
εἰς λαὸν ἀσύνετον, καὶ καρπὸν οὐκ ἤνεγκαν· καὶ
on (a)-people without-understanding and fruit not they-bore and
βλέπω τὰ πρόβατα ἅπερ ἐποίμαινον ἐσκορπισμένα, καὶ
I-see the sheep which I-shepherded scattered and
ὁ μόχθος ὃν ἐμόχθησα διὰ τοὺς υἱοὺς Ἰσραὴλ εἰς οὐδὲν
the toil which I-toiled for the sons of-Israel for nothing
ἐλογίσθη· καὶ τὰς δυνάμεις καὶ στρατιὰς ἴδον ἐμμέσῳ
was-reckoned and the powers and hosts they-saw in-(the)-midst-of
αὐτῶν, καὶ οὐ συνῆκαν· καὶ βλέπω τοὺς ἐξ ἐθνῶν
them and not they-understood and I-see the(-ones) from (the)-gentiles
προσκυνοῦντας καὶ πιστεύσαντας διὰ τοῦ λόγου σου καὶ
worshiping and having-believed through the word your and
ἐπιστρέψαντας καὶ ἐρχομένους ἐνταῦθα, καὶ ἐκ τοῦ λαοῦ
having-turned and coming here and from the people
μου τοῦ τοσούτου οὐδεὶς συνῆκεν. ὅτε γὰρ ἐκρέμασαν τὸν
my the so-great no-one understood when for they-hanged the
υἱὸν τοῦ θεοῦ οἱ Ἰουδαῖοι ἐπὶ τοῦ σταυροῦ, πάντες οἱ
son — of-God the Jews upon the cross all the
ἄγγελοι καὶ ἀρχάγγελοι καὶ οἱ δίκαιοι καὶ πᾶσα κτίσις
angels and archangels and the righteous and all creation
ἡ τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων
the(-one) of-the heavenly(-ones) and earthly and under-the-earth
ἐκόψαντο καὶ ἐθρήνησαν κοπετὸν μέγαν· οἱ δὲ ἀσεβεῖς
beat-their-breasts and lamented (a)-lamentation great the but impious
καὶ παράφρονες Ἰουδαῖοι οὐ συνῆκαν· διότι ἡτοιμάσθη
and senseless Jews not understood wherefore was-prepared
αὐτοῖς τὸ πῦρ τὸ αἰώνιον καὶ σκώληξ ὁ ἀκοίμητος.
for-them the fire the everlasting and (the)-worm the sleepless

49 Ἔτι τούτου λαλοῦντος ἦλθον ἄλλοι τρεῖς καὶ ἠσπάσαντό
still this(-one) speaking came other three and greeted
με λέγοντες· χαίροις, Παῦλε, ἀγαπητὲ τοῦ θεοῦ, ἐκκλησιῶν
me saying hail Paul beloved — of-God of-(the)-churches
τὸ καύχημα καὶ ἀγγέλων πρόσχημα. καὶ ἠρώτησα· τίνες
the boast and of-angels (the)-ornament and I-asked who
ἐστὲ ὑμεῖς; καὶ ὁ πρῶτος εἶπεν· ἐγώ εἰμι Ἡσαΐας, ὃν
are you and the first said I am Isaiah whom
ἔπρισεν Μανασσῆς ἐν ξυλίνῳ πριόνι. καὶ ὁ δεύτερος
sawed Manasseh with (a)-wooden saw and the second
εἶπεν· ἐγώ εἰμι Ἱερεμίας, ὃν ἐλιθοβόλησαν οἱ Ἰουδαῖοι,
said I am Jeremiah whom stoned the Jews
ἀλλ᾽ ἔμειναν πυρούμενοι τῷ αἰωνίῳ πυρί. καὶ ὁ τρίτος
but they-remained burning in-the everlasting fire and the third
εἶπεν· ἐγώ εἰμι Ἰεζεκιήλ, ὃν ἔπειραν οἱ χριστοκτόνοι·
said I am Ezekiel whom pierced the Christ-killers
ταῦτα πάντα ὑπεμείναμεν, καὶ τὴν λιθίνην καρδίαν τῶν
these(-things) all we-endured and the stony heart of-the
Ἰουδαίων οὐκ ἠδυνήθημεν ἐπιστρέψαι. καὶ ἔρριψα ἑαυτὸν
Jews not we-were-able to-turn and I-cast myself
ἐπὶ πρόσωπον, δεόμενος τῆς ἀγαθότητος τοῦ θεοῦ, ὅτι
on (my)-face entreating the goodness — of-God that
ἐποίησεν ἔλεος μετ᾽ ἐμοῦ λυτρωσάμενος ἐκ τοῦ γένους
he-did mercy with me having-redeemed(-me) from the race
τῶν Ἑβραίων. καὶ ἦλθεν φωνὴ λέγουσα· μακάριος εἶ
of-the Hebrews and came (a)-voice saying blessed are
σύ, Παῦλε, ἀγαπητὲ τοῦ θεοῦ, καὶ μακάριοι οἱ
you Paul beloved — of-God and blessed (are)-the(-ones)
πιστεύσαντες διὰ σοῦ εἰς τὸ ὄνομα τοῦ κυρίου ἡμῶν
having-believed through you in the name of-the Lord our
Ἰησοῦ Χριστοῦ, ὅτι αὐτοῖς ἡτοιμάσθη ἡ αἰώνιος ζωή.
Jesus Christ for for-them was-prepared the everlasting life

Ἔτι ταύτης τῆς φωνῆς λεγούσης ἦλθεν ἄλλος κράζων· 50
still this the voice speaking came another crying
μακάριος εἶ, Παῦλε. καὶ ἐπερώτησα τὸν ἄγγελον· τίς
blessed you-are Paul and I-asked the angel who
ἐστιν οὗτος, κύριε; καὶ εἶπέν μοι· οὗτός ἐστιν Νῶε ὁ
is this lord and he-said to-me this is Noah the(-one)
ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ. καὶ ἀσπασάμενοι ἀλλήλους,
in the time of-the flood and having-greeted one-another
ἠρώτησα αὐτόν· τίς εἶ; καὶ εἶπέν μοι· ἐγώ εἰμι Νῶε
I-asked him who are-you and he-said to-me I am Noah
ὁ ἐν ἑκατὸν ἔτεσιν κτίσας τὴν κιβωτόν, καὶ μὴ
the(-one) in (a)-hundred years having-built the ark and not
ἀποδυσάμενος ὃν ἐφόρουν χιτῶνα μηδὲ ξυρησάμενος τὴν
having-taken-off which I-wore (the)-tunic nor having-shaved the
κεφαλήν μου, ἀλλὰ καὶ ἐγκράτειαν ἀσκήσας οὐκ ἐπλησίασα
head my but also continence having-practiced not I-approached
τῇ γυναικί μου, καὶ εἰς τὰ ἑκατὸν ἔτη ὁ χιτών μου οὐκ
the wife my and for the hundred years the tunic my not
ἐρυπώθη, καὶ ἡ θρὶξ τῆς κεφαλῆς μου οὐκ ἐλαττώθη· καὶ
was-soiled and the hair of-the head my not was-lessened and
οὐκ ἐπαυσάμην τοῖς ἀνθρώποις κηρύσσειν· μετανοεῖτε· ἰδοὺ
not I-ceased to-the men to-preach repent behold
γὰρ κατακλυσμὸς ἔρχεται. καὶ οὐδεὶς συνῆκεν, ἀλλὰ πάντες
for (a)-flood comes and no-one understood but all
ἐξεμυκτήριζόν με, μὴ φειδόμενοι τῶν ἀνομιῶν αὐτῶν, ἕως
mocked me not sparing the lawlessnesses their until
οὗ ἦλθεν τὸ ὕδωρ τοῦ κατακλυσμοῦ καὶ ἀπώλεσε πάντας.
— came the water of-the flood and destroyed all
Καὶ ἀποβλέψας ἴδον ἄλλους δύο ἀπὸ μακρόθεν. καὶ 51
and having-looked-away I-saw other two from afar and
ἐπερώτησα τὸν ἄγγελον· τίνες εἰσὶν οὗτοι, κύριε; καὶ εἶπέν
I-asked the angel who are these lord and he-said

μοι· οὗτοί εἰσιν Ἐνὼχ καὶ Ἠλίας. καὶ ἐλθόντες ἠσπάσαντό
to-me these are Enoch and Elijah and having-come they-greeted
με λέγοντες· χαίροις, Παῦλε, ἀγαπητὲ τοῦ θεοῦ. καὶ εἶπον
me saying hail Paul beloved — of-God and I-said
πρὸς αὐτούς· τίνες ἐστὲ ὑμεῖς; καὶ ἀποκριθεὶς Ἠλίας ὁ
to them who are you and answering Elijah the
προφήτης εἶπέν μοι· ἐγώ εἰμι Ἠλίας ὁ προφήτης ὁ
prophet said to-me I am Elijah the prophet the(-one)
προσευξάμενος εἰς τὸν θεόν, καὶ ἐποίησεν ἔτη τρία καὶ
having-prayed to — God and he-made years three and
μῆνας ἓξ μὴ κατελθεῖν ὑετὸν ἐπὶ τῆς γῆς διὰ τὰς
months six not to-come-down rain upon the earth because-of the
ἀδικίας τῶν υἱῶν τῶν ἀνθρώπων. πολλάκις γοῦν καὶ
injustices of-the sons of-the men often indeed even
οἱ ἄγγελοι παρεκάλεσαν τὸν θεὸν διὰ τὸν ὑετόν· καὶ
the angels besought — God for the rain and
ἤκουσα· μακροθυμήσατε, ἕως ἂν ὁ ἀγαπητός μου Ἠλίας
I-heard be-patient until — the beloved my Elijah
προσεύξεται, κἀγὼ ἀποστείλω τὸν ὑετὸν ἐπὶ τὴν γῆν ***
prays and-I will-send the rain upon the earth (lacuna)

ANONYMOUS

ΑΠΟΚΑΛΥΨΙΣ ΤΗΣ ΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

The Apocalypse of the Virgin

Ἀποκάλυψις τῆς ἁγίας Θεοτόκου περὶ τῶν κολάσεων

XII · THE APOCALYPSE OF THE VIRGIN

Praying on the Mount of Olives, the Theotokos asks to see the punishments, and the archangel Michael shows them. She sees those who would not worship the Trinity, those who did not confess her as the Mother of God and lie in darkness, those under a parent's curse, cannibals, perjurers by the cross, usurers, slanderers, those who slept through Sunday matins or did not rise for the presbyter, an unjust steward, priests who handled the sacrament carelessly, a reader, wearers of the monastic habit who did not live by it, and the river of fire where the Jews who crucified Christ, those who denied their baptism, fornicators, sorcerers, murderers, and infanticides are punished. She weeps and asks to be punished with the Christians. Raised before the invisible Father, she pleads for the sinners, and Michael, Moses, John, and Paul join her. The Son comes down, recounts his saving work, and for his mother's prayers grants the damned rest through the days of Pentecost, and all the powers of heaven glorify his mercy.

Ἤμελλεν ἡ παναγία θεοτόκος πορεύεσθαι πρὸς τὸ ὄρος 1
was-about the all-holy God-bearer to-go to the mount
τῶν ἐλαιῶν τοῦ προσεύξασθαι· προσευχομένης δὲ αὐτῆς
of-the olives of-the to-pray praying and she
πρὸς κύριον τὸν θεὸν ἡμῶν εἶπεν· Ἐπὶ τοῦ ὀνόματος τοῦ
to (the)-Lord — God our she-said in the name of-the
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κατελθάτω ὁ
father and of-the son and of-the holy spirit let-come-down the
ἀρχάγγελος Γαβριήλ, ὅπως εἴπῃ μοι περὶ τῶν κολασέων
archangel Gabriel that he-may-tell me about the punishments
καὶ περὶ τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.
and about the heavenly(-things) and earthly and under-the-earth
καὶ ἅμα τῷ λόγῳ εἰποῦσα κατῆλθεν ὁ ἀρχάγγελος
and together-with the word having-spoken came-down the archangel
Μιχαὴλ μετὰ τοὺς ἀγγέλους τῆς ἀνατολῆς καὶ τῆς
Michael with the angels of-the east and of-the

δύσεως καὶ ἀγγέλους τῆς μεσημβρίας καὶ τοῦ βορρᾶ, καὶ
west and angels of-the south and of-the north and
ἠσπάσαντο τὴν κεχαριτωμένην καὶ εἶπαν πρὸς αὐτήν· Χαῖρε
they-greeted the favored-one and said to her hail
τοῦ πατρὸς τὸ ἀπαύγασμα, χαῖρε τοῦ υἱοῦ ἡ κατοίκησις,
of-the father the radiance hail of-the son the dwelling
χαῖρε τοῦ ἁγίου πνεύματος τὸ κέλευσμα, χαῖρε τῶν ἑπτὰ
hail of-the holy spirit the command hail of-the seven
οὐρανῶν τὸ στερέωμα, χαῖρε τῶν ἕνδεκα ὀχυρωμάτων
heavens the firmament hail of-the eleven strongholds
τὸ στερέωμα, χαῖρε τῶν ἀγγέλων τὸ προσκύνημα, χαῖρε
the firmament hail of-the angels the worship hail
τῶν προφητῶν ὑψηλοτέρα ἕως τοῦ θρόνου τοῦ θεοῦ. ἡ
of-the prophets higher up-to the throne — of-God the
δὲ ἁγία θεοτόκος εἶπεν πρὸς τὸν ἄγγελον· Χαῖρε Μιχαὴλ
and holy God-bearer said to the angel hail Michael
ἀρχιστράτηγε, ὁ τοῦ ἀοράτου πατρὸς ὁ λειτουργός, χαῖρε
commander-in-chief the of-the invisible father the minister hail
Μιχαὴλ ἀρχιστράτηγε, καὶ τοῦ υἱοῦ μου συνόμιλε, χαῖρε
Michael commander-in-chief and of-the son my companion hail
Μιχαὴλ ἀρχιστράτηγε, τῶν ἑξαπτερύγων ὁ ἔπαινος, χαῖρε
Michael commander-in-chief of-the six-winged(-ones) the praise hail
Μιχαὴλ ἀρχιστράτηγε, ὁ τυραννῶν κατὰ ἁπάντων
Michael commander-in-chief the(-one) ruling over all
καὶ τῷ θρόνῳ τοῦ δεσποτοῦ ἀξίως παριστάμενος,
and by-the throne of-the master worthily standing-by
χαῖρε Μιχαὴλ ἀρχιστράτηγε, ὁ μέλλων σαλπίσαι καὶ
hail Michael commander-in-chief the(-one) about to-trumpet and
ἐξυπνίσαι τοὺς ἀπ' αἰῶνος κεκοιμημένους· χαῖρε Μιχαὴλ
to-awaken the(-ones) from (the)-age fallen-asleep hail Michael
ἀρχιστράτηγε, πρῶτε πάντων ἕως τοῦ θρόνου τοῦ θεοῦ.
commander-in-chief first of-all up-to the throne — of-God

Ὁμοίως καὶ πάντας τοὺς ἀγγέλους εὐφημήσασα ἡ 2
likewise also all the angels having-praised the
κεχαριτωμένη ἐδέετο διὰ τοὺς κολαζομένους τὸν
favored-one besought for the(-ones) punished the
ἀρχιστράτηγον, λέγουσα· Ἀνάγγειλόν μοι τὰ ἐπὶ τῆς
commander-in-chief saying declare to-me the(-things) on the
γῆς πάντα. καὶ εἶπεν αὐτῇ ὁ ἀρχιστράτηγος ὅτι Ἐὰν
earth all and said to-her the commander-in-chief — if
εἴπῃς μοι, ἡ κεχαριτωμένη, ἐγώ σοι ἀναγγελῶ. ἡ δὲ
you-tell me (O)-the favored-one I to-you will-declare the and
κεχαριτωμένη εἶπεν πρὸς αὐτόν· Πόσαι κολάσεις εἰσὶν
favored-one said to him how-many punishments are(-there)
ὅπου κολάζονται τὸ γένος τῶν ἀνθρώπων; καὶ εἶπεν πρὸς
where are-punished the race of-the men and said to
αὐτὴν ὁ ἀρχάγγελος· Ἀναρίθμητοι κολάσεις εἰσίν. εἶπεν
her the archangel innumerable punishments are said
δὲ πρὸς αὐτὸν ἡ κεχαριτωμένη· Ἀνάγγειλόν μοι τὰ
and to him the favored-one declare to-me the(-things)
ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
in the heaven and on the earth

Τότε ἐκέλευσεν ὁ ἀρχιστράτηγος Μιχαὴλ ἀποκαλυφθῆναι 3
then ordered the commander-in-chief Michael to-be-revealed
τοὺς ἀγγέλους τοὺς ἐπὶ δυσμῶν, καὶ ἔχανεν ὁ ᾅδης, καὶ
the angels the(-ones) at (the)-west and gaped-open — Hades and
εἶδεν τοὺς ἐν τῷ ᾅδῃ κολαζομένους· καὶ ἐκεῖ κατέκειτο
she-saw the(-ones) in — Hades being-punished and there lay
πλῆθος ἀνδρῶν καὶ γυναικῶν, καὶ ὀδυρμὸς μέγας ἐγένετο.
(a)-multitude of-men and of-women and lamentation great arose
καὶ ἠρώτησεν ἡ κεχαριτωμένη τὸν ἀρχιστράτηγον· Τίνες
and asked the favored-one the commander-in-chief who
εἰσὶν οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν ὁ
are these and what (is)-the sin their and said the

ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία, οἱ τὸν πατέρα
commander-in-chief these are all-holy(-one) the(-ones) the father
καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μὴ προσκυνήσαντες, καὶ διὰ
and son and holy spirit not having-worshiped and for
τοῦτο ὧδε οὕτως κολάζονται.
this here thus they-are-punished

4 Καὶ εἶδεν ἐφ' ἕτερον τόπον σκότος μέγα· καὶ εἶπεν ἡ
and she-saw in another place darkness great and said the
παναγία· Τί τὸ σκότος τοῦτο, καὶ τίνες εἰσιν οἱ
all-holy(-one) what (is)-the darkness this and who are the(-ones)
κολαζόμενοι; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Πολλαὶ ψυχαὶ
being-punished and said the commander-in-chief many souls
κατακεῖνται ἐν τῷ σκότει τούτῳ. καὶ εἶπεν ἡ παναγία·
lie in the darkness this and said the all-holy(-one)
Ἀρθήτω τὸ σκότος τοῦτο, ὅπως ἴδω καὶ ταύτην τὴν
let-be-lifted the darkness this that I-may-see also this the
κόλασιν. καὶ εἶπεν ὁ ἀρχιστράτηγος τῇ κεχαριτωμένῃ·
punishment and said the commander-in-chief to-the favored-one
Οὐκ ἔστιν δυνατόν, παναγία, ἵνα ἴδῃς καὶ ταύτην τὴν
not it-is possible all-holy(-one) that you-see also this the
κόλασιν. καὶ ἀπεκρίθησαν οἱ ἄγγελοι οἱ φυλάσσοντες
punishment and answered the angels the(-ones) guarding
αὐτούς, καὶ εἶπον· Παραγγελίαν ἔχομεν παρὰ τοῦ ἀοράτου
them and said (a)-command we-have from the invisible
πατρὸς ἵνα μὴ ἴδωσιν τὸ φῶς ἕως οὗ ἐκλάμψῃ ὁ υἱός
father that not they-see the light until — shines-forth the son
σου ὁ εὐλογημένος. καὶ ἐν λύπῃ γεναμένη ἡ παναγία
your the blessed and in grief having-become the all-holy(-one)
πρὸς τοὺς ἀγγέλους ἀνέτεινεν τὸ ὄμμα αὐτῆς πρὸς τὸν
toward the angels raised the eye her to the
ἄχραντον τοῦ πατρὸς λόγον, καὶ εἶπεν· Ἐν ὀνόματι τοῦ
undefiled of-the father word and said in (the)-name of-the

πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀρθήτω τὸ
father and of-the son and of-the holy spirit let-be-lifted the
σκότος, ὅπως ἴδω καὶ ταύτην τὴν κόλασιν. καὶ εὐθέως
darkness that I-may-see also this the punishment and immediately
ἐπήρθη τὸ σκότος ἐκεῖνο καὶ τοὺς ἑπτὰ οὐρανοὺς ἐκάλυψεν·
was-lifted the darkness that and the seven heavens it-covered
κἀκεῖ κατέκειτο πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν, καὶ
and-there lay (a)-multitude of-men both and of-women and
ὀδυρμὸς μέγας ἐγένετο καὶ βόη μεγάλη ἤρχετο. καὶ
lamentation great arose and (a)-cry great came and
ἰδοῦσα αὐτοὺς ἡ παναγία ἐδάκρυσεν καὶ εἶπεν πρὸς
having-seen them the all-holy(-one) wept and said to
αὐτούς· Τί ποιεῖτε, ἄθλιοι; πῶς ἔχετε, ταλαίπωροι; καὶ
them what do-you-do wretched(-ones) how are-you miserable(-ones) and
πῶς ἐνταῦθα εὑρέθητε; καὶ οὐκ ἦν φωνὴ οὐδὲ ἀκρόασις.
how here were-you-found and not was (a)-voice nor hearing
καὶ εἶπον οἱ ἄγγελοι οἱ φυλάσσοντες αὐτούς· Τί
and said the angels the(-ones) guarding them why
οὐ λαλεῖτε τῇ κεχαριτωμένῃ; καὶ εἶπαν οἱ κολαζομένοι
not do-you-speak to-the favored-one and said the punished(-ones)
πρὸς αὐτήν· Ἡμεῖς, ἡ κεχαριτωμένη, ἀπὸ τοῦ αἰῶνος
to her we (O)-the favored-one from the age
οὐκ εἴδομεν φῶς, καὶ οὐ δυνάμεθα ἀνανεῦσαι τὴν ἄνω.
not we-saw light and not we-are-able to-look-up the(-way) above
καὶ κατεχεῖτο πίσσα κοχλάζουσα ἐπ᾽ αὐτούς· καὶ ἰδοῦσα
and was-poured-down pitch boiling upon them and having-seen
αὐτοὺς ἡ παναγία ἔκλαυσεν· καὶ πάλιν εἶπον πρὸς αὐτὴν
them the all-holy(-one) wept and again said to her
οἱ κολαζομένοι· Πῶς δι᾽ ἡμᾶς ἐρώτησας, ἁγία δέσποινα
the punished(-ones) how for us have-you-asked holy Lady
θεοτόκε; ὁ υἱός σου ὁ εὐλογημένος ἐπὶ τῆς γῆς ἦλθεν καὶ
God-bearer the son your the blessed upon the earth came and

δι᾽ ἡμᾶς οὐ κατερώτησεν, οὔτε Ἀβραὰμ ὁ προπάτωρ, οὔτε
for us not asked nor Abraham the forefather nor
Ἰωάννης ὁ βαπτίστης, οὔτε Μωϋσῆς ὁ μέγας προφήτης,
John the Baptist nor Moses the great prophet
οὔτε ὁ ἀπόστολος Παῦλος, καὶ εἰς ἡμᾶς οὐκ ἐπέφαναν·
nor the apostle Paul and to us not they-appeared
καὶ πῶς, παναγία θεοτόκε, τὸ τεῦχος τῶν Χριστιανῶν,
and how all-holy God-bearer the armor of-the Christians
ἡ παρακαλοῦσα πολλὰ διὰ τοὺς Χριστιανούς, πῶς δι᾽
the(-one) entreating much for the Christians how for
ἡμᾶς κατερώτησας; τότε εἶπεν ἡ παναγία θεοτόκος πρὸς
us have-you-asked then said the all-holy God-bearer to
τὸν ἀρχιστράτηγον Μιχαήλ· Τί τὸ ἁμάρτημα αὐτῶν;
the commander-in-chief Michael what (is)-the sin their
καὶ εἶπεν ὁ ἀρχιστράτηγος Μιχαήλ· Οὗτοί εἰσιν οἱ τὸν
and said the commander-in-chief Michael these are the(-ones) the
πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα μὴ πιστεύσαντες,
father and the son and the holy spirit not having-believed
καὶ σὲ θεοτόκον μὴ ὁμολογήσαντες ὅτι ἐκ σοῦ ἐτέχθη
and you (as)-God-bearer not having-confessed that from you was-born
ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ σάρκα προελάβετο,
the Lord our Jesus Christ and flesh took
καὶ διὰ τοῦτο ἐνταῦθα κολάζονται. καὶ πάλιν δακρύσασα
and for this here they-are-punished and again having-wept
ἡ παναγία θεοτόκος εἶπεν πρὸς αὐτούς· Διὰ τί τοσαῦτα
the all-holy God-bearer said to them for what so-much
ἐπλανήθητε, ταλαίπωροι; οὐκ ἠκούσατε ὅτι τὸ ἐμὸν ὄνομα
did-you-go-astray wretched(-ones) not did-you-hear that the my name
ὀνομάζει πᾶσα ἡ κτίσις; καὶ ταῦτα εἰποῦσα ἡ παναγία
names all the creation and these(-things) having-said the all-holy(-one)
πάλιν ἔπεσεν τὸ σκότος ἐπ᾽ αὐτοὺς ὡς ἦν ἀπ᾽ ἀρχῆς.
again fell the darkness upon them as it-was from (the)-beginning

Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ποῖ θέλεις, ἡ
and said the commander-in-chief where do-you-wish (O)-the
κεχαριτωμένη, ἀπελθεῖν; ἐπὶ τὰς δυσμὰς ἢ ἐπὶ μεσημβρίαν;
favored-one to-go to the west or to (the)-south
καὶ εἶπεν ἡ κεχαριτωμένη· Ἐπὶ μεσημβρίαν ἵνα ἀπέλθωμεν.
and said the favored-one to (the)-south that we-may-go
καὶ εὐθέως παρέστησαν τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ καὶ
and immediately stood-by the cherubim and the seraphim and
τετρακόσιοι ἄγγελοι, καὶ ἐξήγαγον τὴν κεχαριτωμένην ἐπὶ
four-hundred angels and they-led-out the favored-one to
τὰς μεσημβρίας, ὅπου ὁ ποταμὸς ἐξήρχετο τοῦ πυρός,
the south where the river came-out of-the fire
καὶ ἐκεῖ κατέκειτο πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν,
and there lay (a)-multitude of-men both and of-women
οἱ μὲν ἕως τῆς ζώσης, ἄλλοι ἕως τοῦ τραχηλοῦ,
some on-the-one-hand to the girdle others to the neck
καὶ ἄλλοι ἕως τῆς κορυφῆς· καὶ ἰδοῦσα αὐτοὺς ἡ
and others to the crown and having-seen them the
παναγία θεοτόκος ἐβόησεν φωνῇ μεγάλῃ πρὸς τὸν
all-holy God-bearer cried with-(a)-voice loud to the
ἀρχιστράτηγον καὶ εἶπεν· Τίνες εἰσὶν οὗτοι, καὶ τί τὸ
commander-in-chief and said who are these and what (is)-the
ἁμάρτημα αὐτῶν, οἱ ἐγκειμένοι ἕως τῆς ζώσης εἰς τὸ
sin their the(-ones) lying to the girdle in the
πῦρ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία,
fire and said the commander-in-chief these are all-holy(-one)
πατρὸς καὶ μητρὸς κατάραν κληρονομήσαντες, καὶ διὰ
(the)-father's and mother's curse having-inherited and for
τοῦτο ὧδε οὕτως κολάζονται ὡσεὶ κατηραμένοι.
this here thus they-are-punished as accursed

6 Καὶ εἶπεν ἡ παναγία· Καὶ τίνες εἰσιν οὗτοι ἕως τοῦ
and said the all-holy(-one) and who are these to the
στήθους ἐγκειμένοι εἰς τὸ πῦρ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος·
breast lying in the fire and said the commander-in-chief
Οὗτοί εἰσιν οἵτινες τοὺς συνδέκνους ἔριψαν καὶ εἰς πορνείαν
these are (they)-who the godparents cast-off and in fornication
ἐρύπωσαν, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται.
defiled(-themselves) and for this here thus they-are-punished

7 Καὶ εἶπεν ἡ παναγία πρὸς τὸν ἀρχιστράτηγον· Τίνες εἰσιν
and said the all-holy(-one) to the commander-in-chief who are
οὗτοι ἕως τοῦ τραχηλοῦ ἐγκειμένοι εἰς τὴν φλόγα τοῦ
these to the neck lying in the flame of-the
πυρός; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία,
fire and said the commander-in-chief these are all-holy(-one)
οἵτινες ἀνθρώπων κρέα ἔφαγον. καὶ εἶπεν ἡ παναγία· Καὶ
(they)-who of-men flesh ate and said the all-holy(-one) and
πῶς ἐστιν δυνατὸν ἵνα φάγῃ ἄνθρωπος ἑτέρου ἀνθρώπου
how is-it possible that should-eat (a)-man of-another man
κρέα; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ἄκουσον, παναγία, καὶ
flesh and said the commander-in-chief hear all-holy(-one) and
ἐγώ σοι ἀπαγγελῶ· οὗτοί εἰσιν οἵτινες κατέφερον τὰ ἴδια
I to-you will-declare these are (they)-who brought-down the own
τέκνα ἐκ τῆς κοιλίας αὐτῶν, καὶ ἔρριψαν αὐτὰ βρώματα
children from the womb their and cast them (as)-food
τοῖς κυναρίοις, καὶ οἵτινες ἔδωκαν τοὺς ἀδελφοὺς αὐτῶν
to-the little-dogs and (they)-who gave-up the brothers their
ἐνώπιον βασιλέων καὶ ἀρχόντων, οὗτοι ἔφαγον κρέα
before kings and rulers these ate flesh
ἀνθρώπου, καὶ διὰ τοῦτο οὕτως κολάζονται.
of-man and for this thus they-are-punished

Καὶ εἶπεν ἡ παναγία· Τίνες οὗτοι ἕως τῆς κορυφῆς 8
and said the all-holy(-one) who (are)-these to the crown
ἐγκειμένοι εἰς τὸ πῦρ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί
lying in the fire and said the commander-in-chief these
εἰσιν, παναγία, οἵτινες τὸν τίμιον σταυρὸν κρατοῦσιν
are all-holy(-one) (they)-who the precious cross hold
καὶ ὀμνύουσιν εἰς ψεῦδος· Μὰ τὴν δύναμιν τοῦ σταυροῦ
and swear to falsehood by the power of-the cross
τοῦ κυρίου. οἱ ἄγγελοι τρέμουσιν καὶ μετὰ φόβου
of-the Lord the angels tremble and with fear
προσκυνοῦσιν, καὶ οἱ ἄνθρωποι κρατοῦσιν καὶ ὀμνύουσιν
worship and the men hold(-it) and swear
εἰς ψεῦδος καὶ οὐκ οἴδασιν τί μαρτυροῦσιν· καὶ διὰ
to falsehood and not they-know what they-witness and for
τοῦτο ὧδε οὕτως κολάζονται.
this here thus they-are-punished
Καὶ εἶδεν ἡ παναγία εἰς ἕτερον τόπον ἄνθρωπον 9
and saw the all-holy(-one) in another place (a)-man
κρεμάμενον ὑπὸ πόδας, καὶ σκώληκες κατήσθιον αὐτόν·
hanging by (the)-feet and worms devoured him
καὶ ἠρώτησεν τὸν ἀρχιστράτηγον· Τίς ἐστιν οὗτος, καὶ
and she-asked the commander-in-chief who is this and
τί τὸ ἁμάρτημα αὐτοῦ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος·
what (is)-the sin his and said the commander-in-chief
Οὗτός ἐστιν ὁ τόκον λαμβάνων ἐκ τοῦ χρυσίου
this is the(-one) interest taking on the gold
αὐτοῦ, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζεται.
his and for this here thus he-is-punished
Καὶ ἴδεν γυναῖκα κρεμαμένην ἐκ τῶν δύο ὤτων, καὶ 10
and she-saw (a)-woman hanging by the two ears and
πάντα τὰ θηρία ἤρχοντο ἐκ τοῦ στόματος αὐτῆς καὶ
all the beasts came from the mouth her and

κατέτρωγον αὐτήν· καὶ ἠρώτησεν ἡ κεχαριτωμένη τὸν
devoured her and asked the favored-one the
ἀρχιστράτηγον· Τίς ἐστιν αὕτη, καὶ τί τὸ ἁμάρτημα
commander-in-chief who is this and what (is)-the sin
αὐτῆς; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Αὕτη ἐστιν ἡ
her and said the commander-in-chief this is the(-one)
παρακροωμένη εἰς τοὺς οἴκους τοὺς ἀλλοτρίους καὶ τῶν
eavesdropping at the houses the of-others and of-the
πλησίον αὐτῆς, καὶ συμβάλλουσα πρὸς τὸ ποιεῖν μαχὰς
neighbors her and contriving for the to-make quarrels
λόγους πονηρούς, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζεται.
words evil and for this here thus she-is-punished
11 Καὶ ταῦτα ἰδοῦσα ἡ παναγία θεοτόκος ἔκλαυσεν καὶ
and these(-things) having-seen the all-holy God-bearer wept and
εἶπεν πρὸς τὸν ἀρχιστράτηγον· Καλὸν ἦν τὸν ἄνθρωπον
said to the commander-in-chief good it-were (for)-the man
ἵνα μὴ γεννηθῇ. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ἀμήν,
that not he-be-born and said the commander-in-chief amen
παναγία, οὐχ ἑόρακας τὰς μεγάλας κολάσεις. καὶ εἶπεν ἡ
all-holy(-one) not you-have-seen the great punishments and said the
παναγία πρὸς τὸν ἀρχιστράτηγον· Δεῦρο Μιχαὴλ ὁ μέγας
all-holy(-one) to the commander-in-chief come Michael the great
ἀρχιστράτηγος, καὶ ἄπαγέ με ὅπως ἴδω πάσας τὰς
commander-in-chief and lead me that I-may-see all the
κολάσεις. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ποῦ θέλεις, ἡ
punishments and said the commander-in-chief where do-you-wish (O)-the
κεχαριτωμένη, ἵνα ἐξέλθωμεν; καὶ εἶπεν ἡ κεχαριτωμένη·
favored-one that we-go-out and said the favored-one
Ἐπὶ τὰς δυσμάς· καὶ εὐθέως παρέστησαν τὰ χερουβίμ,
to the west and immediately stood-by the cherubim
καὶ ἐξήγαγον τὴν κεχαριτωμένην ἐπὶ τὰς δυσμάς.
and led-out the favored-one to the west

Καὶ ἴδεν νεφέλην πυρὸς ἁπλουμένην, καὶ κατέκειτο 12
and she-saw (a)-cloud of-fire spreading and lay
πλῆθος ἀνδρῶν καὶ γυναικῶν. καὶ εἶπεν ἡ παναγία· Τί
(a)-multitude of-men and of-women and said the all-holy(-one) what
τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί
(is)-the sin their and said the commander-in-chief these
εἰσιν, παναγία, οἳ τὸ ὄρθρον τῆς κυριακῆς κατακεῖνται
are all-holy(-one) who the dawn of-the Lord's-day lie
ὡσεὶ νεκροί, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται. καὶ
as dead(-men) and for this here thus they-are-punished and
εἶπεν ἡ παναγία· Ἐάν τις οὐ δύναται ἐγερθῆναι, τί
said the all-holy(-one) if anyone not is-able to-be-raised what
ποιήσει; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ἄκουσον, παναγία·
shall-he-do and said the commander-in-chief hear all-holy(-one)
ἐάν τινος ἐξάψῃ ὁ οἶκος ἐκ τεσσάρων καὶ κυκλώσῃ
if of-anyone catches-fire the house from four(-sides) and encircles
αὐτὸν καὶ οὐ δύναται ἐξελθεῖν, ἔχει συγχώρησιν.
him and not he-is-able to-go-out he-has pardon
Καὶ ἴδεν εἰς ἕτερον τόπον σκάμνια πύρινα, καὶ ἐπ' 13
and she-saw in another place benches fiery and on
αὐτὰ ἐκάθηντο πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν καὶ
them sat (a)-multitude of-men both and of-women and
ἐκαίοντο ἐν αὐτά. καὶ ἠρώτησεν ἡ παναγία· Τίνες
they-were-burned in them and asked the all-holy(-one) who
εἰσὶν οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν
are these and what (is)-the sin their and said
ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία, οἱ εἰς τὸν
the commander-in-chief these are all-holy(-one) the(-ones) for the
πρεσβύτερον μὴ ἐγειρόμενοι ὅταν εἰσέρχωνται εἰς τὴν
presbyter not rising when they-enter into the
ἐκκλησίαν τοῦ θεοῦ, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται.
church — of-God and for this here thus they-are-punished

14 Καὶ ἴδεν ἡ παναγία εἰς ἕτερον τόπον δένδρον σιδηροῦν, καὶ
and saw the all-holy(-one) in another place (a)-tree of-iron and
εἶχεν κλώνους σιδηροῦς, καὶ ἐκρεμνοῦντο ἐν αὐτῷ πλῆθος
it-had branches of-iron and were-hung on it (a)-multitude
ἀνδρῶν καὶ γυναικῶν ἐκ τῶν γλωσσῶν. καὶ ἰδοῦσα αὐτοὺς
of-men and of-women by the tongues and having-seen them
ἡ παναγία ἐδάκρυσεν, καὶ ἠρώτησεν τὸν ἀρχιστράτηγον
the all-holy(-one) wept and asked the commander-in-chief
λέγουσα· Τίνες εἰσὶν οὗτοι, καὶ τί τὸ ἁμάρτημα
saying who are these and what (is)-the sin
αὐτῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν ἐπίορκοι,
their and said the commander-in-chief these are perjurers
βλάσφημοι, καταλαληταί, οἵτινες ἐχώρισαν ἀδελφοὺς ἀπὸ
blasphemers slanderers who separated brothers from
ἀδελφῶν. καὶ εἶπεν ἡ παναγία· Πῶς ἐστιν δυνατὸν χωρίσαι
brothers and said the all-holy(-one) how is-it possible to-separate
ἀδελφοὺς ἀπὸ ἀδελφῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος·
brothers from brothers and said the commander-in-chief
Ἄκουσον, παναγία, καὶ ἐγώ σοι περὶ τούτου ἀναγγελῶ·
hear all-holy(-one) and I to-you about this will-declare
ἐάν τινες ἀπὸ ἔθνους ἔμελλον βαπτίζεσθαι, καὶ εἶπεν
if some from (the)-gentiles were-about to-be-baptized and he-said
αὐτοῖς ἕνα λόγον· Σὺ μιαροφάγε ἔθνος ἄπιστον· ὅτι οὕτως
to-them one word you unclean-eater nation unbelieving because thus
ἐβλασφήμησεν, καὶ ἀδιάλειπτον λήψεται τὴν τιμωρίαν.
he-blasphemed also unceasing he-shall-receive the vengeance
15 Καὶ εἶδεν ἡ παναγία εἰς ἕτερον τόπον κρεμώμενον
and saw the all-holy(-one) in another place hanging
ἄνθρωπον ἐκ τεσσάρων, καὶ ἐκ τῶν ὀνύχων αὐτοῦ
(a)-man by four(-limbs) and from the nails his
ἐξήρχετο αἷμα σφοδρῶς, καὶ ἡ γλῶσσα αὐτοῦ ἐδεσμοῦτο ἐν
came-out blood violently and the tongue his was-bound in

φλογὶ πυρός, καὶ οὐκ ἠδύνατο στενάξαι καὶ εἰπεῖν τὸ Κύριε
(a)-flame of-fire and not he-was-able to-groan and to-say the Lord
ἐλέησόν με. καὶ ἰδοῦσα ἡ παναγία ἔκλαυσεν καὶ
have-mercy-on me and having-seen(-him) the all-holy(-one) wept and
εἶπεν αὐτὴ τὸ Κύριε ἐλέησον, τρίτον· καὶ μετὰ τὸ ποιῆσαι
said herself the Lord have-mercy thrice and after the to-make
τὴν εὐχὴν ἦλθεν ὁ ἄγγελος ὁ ἐπὶ τῆς μάστιγος ἔχων
the prayer came the angel the(-one) over the scourge having
τὴν ἐξουσίαν καὶ ἀνέλυσεν τὴν γλῶσσαν τοῦ ἀνθρώπου·
the authority and loosed the tongue of-the man
καὶ ἠρώτησεν ἡ παναγία τὸν ἀρχιστράτηγον· Τίς ἐστιν
and asked the all-holy(-one) the commander-in-chief who is
οὗτος ὁ ἐλεεινός, ὁ ἔχων τοιαύτην κόλασιν; καὶ εἶπεν
this the pitiable(-one) the(-one) having such (a)-punishment and said
ὁ ἀρχιστράτηγος· Οὗτός ἐστιν, παναγία, ὁ οἰκονόμος
the commander-in-chief this is all-holy(-one) the steward
ὅστις οὐκ ἐποίησεν τὸ θέλημα τοῦ θεοῦ, ἀλλ᾽ ἔτρωγεν τὰ
who not did the will — of-God but ate the
τῆς ἐκκλησίας πράγματα καὶ ἔλεγεν Ὁ δουλεύων τοῦ
of-the church goods and said the(-one) serving the
ναοῦ ἐκ τοῦ ναοῦ θρεφθήσεται· καὶ διὰ τοῦτο ὧδε οὕτως
temple from the temple shall-be-fed and for this here thus
κολάζεται. καὶ εἶπεν ἡ παναγία· Κατὰ τὴν πίστιν αὐτοῦ
he-is-punished and said the all-holy(-one) according-to the faith his
γενηθήτω αὐτῷ. καὶ πάλιν ἐδέσμευσεν τὴν γλῶσσαν αὐτοῦ.
be-it-done to-him and again he-bound the tongue his
Καὶ εἶπεν ὁ ἀρχιστράτηγος Μιχαήλ· Δεῦρο, παναγία, καὶ 16
and said the commander-in-chief Michael come all-holy(-one) and
ὑποδείξω σοι ποῦ κολάζονται οἱ ἱερεῖς. καὶ ἐξῆλθεν ἡ
I-will-show you where are-punished the priests and went-out the
παναγία καὶ εἶδεν πρεσβυτέρους κρεμαμένους ἐκ τῶν εἴκοσι
all-holy(-one) and saw presbyters hanging by the twenty

ὀνύχων, καὶ πῦρ ἐξήρχετο ἐκ τῆς κορυφῆς αὐτῶν. καὶ
nails and fire came-out from the crown their and
ἰδοῦσα αὐτοὺς ἡ παναγία ἠρώτησεν τὸν ἀρχιστράτηγον·
having-seen them the all-holy(-one) asked the commander-in-chief
Τίνες εἰσὶν οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν
who are these and what (is)-the sin their and said
ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία, οἱ τῷ θρόνῳ
the commander-in-chief these are all-holy(-one) the(-ones) by-the throne
τοῦ θεοῦ παριστάμενοι, καὶ ὅτε ἐμέλιζον τὸ σῶμα τοῦ
— of-God standing and when they-divided the body of-the
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξέπιπτον οἱ μαργαρῖτες,
Lord our Jesus Christ fell-out the pearls
καὶ ὁ φοβερὸς θρόνος τοῦ οὐρανοῦ ἐσαλεύετο, καὶ τὸ
and the fearful throne of-the heaven was-shaken and the
ὑποπόδιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτρεμεν, καὶ
footstool of-the Lord our Jesus Christ trembled and
αὐτοὶ οὐκ ἐσύνιον· καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται.
they not understood and for this here thus they-are-punished
17 Καὶ εἶδεν ἡ παναγία ἄνθρωπον, καὶ θηρίον πτερωτὸν
and saw the all-holy(-one) (a)-man and (a)-beast winged
ἔχοντα τρεῖς κεφαλὰς ὡσεὶ φλόγα πυρός· αἱ μὲν
having three heads like (a)-flame of-fire the on-the-one-hand
δύο κεφαλαὶ πρὸς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἡ τρίτη
two heads toward the eyes his and the third
κεφαλὴ πρὸς τὸ στόμα αὐτοῦ. καὶ ἰδοῦσα αὐτὸν ἡ
head toward the mouth his and having-seen him the
παναγία ἠρώτησεν τὸν ἀρχιστράτηγον· Τίς ἐστιν οὗτος
all-holy(-one) asked the commander-in-chief who is this
ὅτι οὐ δύναται αὐτὸν ἐξελέσθαι ἐκ τοῦ στόματος τοῦ
that not he-is-able him to-take-out from the mouth of-the
δράκοντος; καὶ εἶπεν πρὸς αὐτὴν ὁ ἀρχιστράτηγος· Οὗτός
dragon and said to her the commander-in-chief this

ἐστιν, παναγία, ὁ ἀναγνώστης ὁ μὴ ποιῶν κατὰ
is all-holy(-one) the reader the(-one) not doing according-to
τὰ ἄξια τοῦ ἁγίου εὐαγγελίου τὸν αὐτὸν τρόπον·
the worthy(-things) of-the holy gospel the same manner
καὶ διὰ τοῦτο οὕτως ὧδε κολάζεται.
and for this thus here he-is-punished
Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Δεῦρο, παναγία, καὶ ὑποδείξω 18
and said the commander-in-chief come all-holy(-one) and I-will-show
σοι ποῦ κολάζεται τὸ ἀγγελικὸν καὶ ἀρχαγγελικὸν σχῆμα.
you where is-punished the angelic and archangelic habit
ἐξῆλθεν καὶ εἶδεν αὐτοὺς ἐγκειμένους εἰς τὸ πῦρ, καὶ
she-went-out and saw them lying in the fire and
ἔτρωγεν αὐτοὺς ὁ σκώληξ ὁ ἀκοίμητος· καὶ εἶπεν ἡ
ate them the worm the sleepless and said the
παναγία· Τίνες εἰσὶν οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν;
all-holy(-one) who are these and what (is)-the sin their
καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Οὗτοί εἰσιν, παναγία, οἱ τὸ
and said the commander-in-chief these are all-holy(-one) the(-ones) the
ἀρχαγγελικὸν καὶ ἀποστολικὸν σχῆμα φορέσαντες. ἄκουσον,
archangelic and apostolic habit having-worn hear
παναγία, περὶ τούτου· ἐπὶ τῆς γῆς πατριάρχαι καὶ ἐπίσκοποι
all-holy(-one) about this upon the earth patriarchs and bishops
ἐκαλοῦντο, καὶ τὸ ὄνομα αὐτῶν οὐκ ἠξίωσαν· ἐπὶ τῆς
they-were-called and the name their not they-were-worthy-of upon the
γῆς Εὐλογεῖτε ἅγιοι ἤκουον, καὶ ἐν τῷ οὐρανῷ ἅγιοι
earth bless holy(-ones) they-heard and in the heaven holy
οὐκ ἐκλήθησαν, ὅτι οὐκ ἐποίησαν ὡς τὸ ἀρχαγγελικὸν
not they-were-called because not they-did as the archangelic
σχῆμα φορέσαντες· καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται.
habit having-worn and for this here thus they-are-punished

19 Καὶ εἶδεν γυναῖκας κρεμωμένας ἐκ τῶν ἀκρονύχων αὐτῶν καὶ
and she-saw women hanging by the fingertips their and
φλὸξ πυρὸς ἐξήρχετο ἐκ τοῦ στόματος αὐτῶν καὶ κατέκαιεν
(a)-flame of-fire came-out from the mouth their and burned
αὐτάς· καὶ πάντα τὰ θηρία ἐξερχόμενα ἐκ τοῦ πυρὸς
them and all the beasts coming-out from the fire
κατέτρωγον αὐτὰς καὶ στενάζουσαι ἐβόουν· Ἐλεήσατε ἡμᾶς,
devoured them and groaning they-cried have-mercy-on us
ἐλεήσατε, ὅτι ἡμεῖς κολαζόμεθα χεῖρον πάντων τῶν ἐν ταῖς
have-mercy for we are-punished worse (than)-all the(-ones) in the
κολάσεσιν ὄντων. καὶ ἰδοῦσα αὐτὰς ἡ παναγία ἐδάκρυσεν,
punishments being and having-seen them the all-holy(-one) wept
καὶ ἠρώτησεν τὸν ἀρχιστράτηγον Μιχαήλ· Τίνες εἰσὶν οὗτοι,
and asked the commander-in-chief Michael who are these
καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος·
and what (is)-the sin their and said the commander-in-chief
Οὗτοί εἰσιν, παναγία, πρεσβυτέραι αἵτινες τοὺς πρεσβυτέρους
these are all-holy(-one) presbyters'-wives who the presbyters
οὐκ ἐτίμησαν, ἀλλὰ μετὰ τὸ ἀποθανεῖν τὸν πρεσβύτερον
not honored but after the to-die the presbyter
ἄνδρας ἔλαβον, καὶ διὰ τοῦτο οὕτως ὧδε κολάζονται.
husbands took and for this thus here they-are-punished
20 Καὶ εἶδεν ἡ παναγία τὸν αὐτὸν τρόπον καὶ διακόνισσαν
and saw the all-holy(-one) the same manner also (a)-deaconess
κρεμαμένην ἐν ἀκρημνίᾳ, καὶ θηρίον δεκακέφαλον ἔτρωγεν
hanging on (a)-precipice and (a)-beast ten-headed devoured
τοὺς μασθοὺς αὐτῆς. καὶ ἠρώτησεν ἡ παναγία· Τί ἐστιν
the breasts her and asked the all-holy(-one) what is
τὸ ἁμάρτημα αὐτῆς; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Αὕτη
the sin her and said the commander-in-chief this

ἐστίν, παναγία, ἀρχιδιακόνισσα ἥτις τὸ σῶμα αὐτῆς εἰς
is all-holy(-one) (an)-archdeaconess who the body her in
πορνείαν ἐρύπωσεν, καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζεται.
fornication defiled and for this here thus she-is-punished
Καὶ εἶδεν ἄλλας γυναῖκας ἐγκειμένας εἰς τὸ πῦρ, καὶ 21
and she-saw other women lying in the fire and
πάντα τὰ θηρία κατέτρωγον αὐτάς. καὶ ἠρώτησεν ἡ
all the beasts devoured them and asked the
παναγία τὸν ἀρχιστράτηγον· Τίνες εἰσὶν οὗτοι, καὶ τί
all-holy(-one) the commander-in-chief who are these and what
τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν· Αὗταί εἰσιν αἱ μὴ
(is)-the sin their and he-said these are the(-ones) not
ποιήσασαι τὸ θέλημα τοῦ θεοῦ, φιλάργυροι, καὶ αἱ
having-done the will — of-God money-lovers and the(-ones)
λαμβάνουσαι τοὺς τόκους τῶν λογαρίων, καὶ αἱ ἄσεμνοι.
taking the interest of-the moneys and the indecent(-ones)
Καὶ ἀκούσασα ταῦτα ἡ παναγία ἐδάκρυσεν καὶ εἶπεν· 22
and having-heard these(-things) the all-holy(-one) wept and said
Οὐαὶ τοὺς ἁμαρτωλούς. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Τί
woe (to)-the sinners and said the commander-in-chief why
κλαίεις, παναγία; ἦ μὴν οὐχ ἑόρακας τὰς μεγάλας
do-you-weep all-holy(-one) truly indeed not you-have-seen the great
κολάσεις. καὶ εἶπεν ἡ κεχαριτωμένη· Δεῦρο, Μιχαήλ,
punishments and said the favored-one come Michael
ὁ μέγας ἀρχιστράτηγος τῶν ἄνω δυνάμεων, ἀνάγγειλόν
the great commander-in-chief of-the above powers declare
μοι ὅπως ἴδω πάσας τὰς κολάσεις. καὶ εἶπεν ὁ
to-me that I-may-see all the punishments and said the
ἀρχιστράτηγος· Ποῦ θέλεις ἵνα ἀπέλθωμεν, παναγία; ἐπὶ
commander-in-chief where do-you-wish that we-go all-holy(-one) to

τὰς ἀνατολάς, ἢ ἐπὶ τὰ ἀριστερὰ μέρη τοῦ παραδείσου;
the east or to the left parts of-the paradise
καὶ εἶπεν ἡ παναγία· Ἐπὶ τὰ ἀριστερὰ τοῦ παραδείσου.
and said the all-holy(-one) to the left(-parts) of-the paradise
23 Καὶ ἅμα τῷ λόγῳ εἰποῦσα, παρέστησαν τὰ χερουβὶμ
and together-with the word having-spoken stood-by the cherubim
καὶ τὰ σεραφὶμ καὶ ἐξήγαγον τὴν κεχαριτωμένην ἐπὶ τὰ
and the seraphim and they-led-out the favored-one to the
ἀριστερὰ μέρη τοῦ παραδείσου· καὶ ἰδοὺ ἔκειτο ποταμὸς
left parts of-the paradise and behold lay (a)-river
μέγας, καὶ ἦν ἡ ἰδέα τοῦ ποταμοῦ ἐκείνου σκοτεινοτέρα
great and was the look of-the river that darker
πίσσης, καὶ ἐν αὐτῷ ἔκειντο πλῆθος ἀνδρῶν τε καὶ
than-pitch and in it lay (a)-multitude of-men both and
γυναικῶν· ἐκόχλαζεν ὡς κάμινος χαλκείων, καὶ ὡς ἀγρία
of-women it-boiled like (a)-furnace of-smiths and like (a)-wild
θάλασσα ἦν τὰ κύματα αὐτῆς ἐπάνω τῶν ἁμαρτωλῶν·
sea were the waves its above the sinners
καὶ ὅταν ἀνέβαινον τὰ κύματα, ἐβύθιζεν τοὺς ἁμαρτωλοὺς
and when went-up the waves it-sank the sinners
μυρίας πηχέας καὶ οὐκ ἐδύναντο ἀνανεῦσαι καὶ εἰπεῖν·
ten-thousand cubits and not they-were-able to-look-up and to-say
Ἐλέησον ἡμᾶς, δικαιοκρίτα· ἔτρωγεν γὰρ αὐτοὺς ὁ
have-mercy-on us righteous-judge devoured for them the
σκώληξ ὁ ἀκοίμητος, καὶ οὐκ ἦν ἀριθμὸς τῶν
worm the sleepless and not was(-there) number of-the(-ones)
τρωγόντων αὐτούς. καὶ ἰδόντες τὴν παναγίαν θεοτόκον οἱ
devouring them and having-seen the all-holy God-bearer the
ἄγγελοι οἱ κολάζοντες αὐτοὺς ἀνεβόησαν μιᾷ φωνῇ·
angels the(-ones) punishing them cried-out with-one voice
Ἅγιος ὁ θεὸς ὁ σπλαγχνιζόμενος διὰ τῆς θεοτόκου·
holy (is)-the God the(-one) having-compassion through the God-bearer

εὐχαριστοῦμέν σοι, υἱὲ τοῦ θεοῦ, ὅτι ἀπὸ τοῦ αἰῶνος
we-give-thanks to-you son — of-God that from the age
οὐκ εἴδαμεν φῶς, καὶ σήμερον διὰ τῆς θεοτόκου εἴδαμεν
not we-saw light and today through the God-bearer we-saw
φῶς. καὶ πάλιν ἐβόησαν μιᾷ φωνῇ, λέγοντες· Χαῖρε,
light and again they-cried with-one voice saying hail
κεχαριτωμένη θεοτόκε· χαῖρε, λαμπὰς τοῦ ἀδύτου φωτός·
favored-one God-bearer hail lamp of-the unsetting light
χαῖρε καὶ σύ, ἀρχιστράτηγε Μιχαήλ, ὁ πρεσβεύων ἀπὸ
hail also you commander-in-chief Michael the(-one) interceding from
πάσης τῆς κτίσεως· ἡμεῖς γὰρ ὁρῶντες τοὺς ἁμαρτωλοὺς
all the creation we for seeing the sinners
κολαζομένους μεγάλως λυπούμεθα. καὶ ἰδοῦσα ἡ παναγία
being-punished greatly are-grieved and having-seen the all-holy(-one)
τοὺς ἀγγέλους τεταπεινωμένους διὰ τοὺς ἁμαρτωλοὺς
the angels humbled because-of the sinners
ἔκλαυσεν καὶ εἶπεν· Οὐαὶ τοὺς ἁμαρτωλοὺς καὶ τοὺς
wept and said woe (to)-the sinners and the
γείτονας αὐτῶν. καὶ εἶπεν ἡ παναγία· Ἂς ἴδωμεν τοὺς
neighbors their and said the all-holy(-one) let us-see the
ἁμαρτωλούς. καὶ ἐλθοῦσα ἡ κεχαριτωμένη μετὰ τοῦ
sinners and having-come the favored-one with the
ἀρχαγγέλου Μιχαὴλ καὶ πᾶσαι αἱ στρατιαὶ τῶν ἀγγέλων
archangel Michael and all the hosts of-the angels
ἦραν μίαν φωνήν, λέγοντες· Κύριε ἐλέησον. καὶ μετὰ τὸ
raised one voice saying Lord have-mercy and after the
ποιῆσαι τὴν εὐχὴν ἐκτενῆ, ἔπαυσεν ὁ κλύδων τοῦ ποταμοῦ
to-make the prayer earnest ceased the surge of-the river
καὶ ἐπράϋναν τὰ κύματα τὰ πύρινα καὶ ἐφάνησαν οἱ
and grew-calm the waves the fiery(-ones) and appeared the
ἁμαρτωλοὶ ὡς κόκκον σινάπεως· καὶ ἰδοῦσα αὐτοὺς ἡ
sinners like (a)-grain of-mustard and having-seen them the

παναγία ἔκλαυσεν καὶ εἶπεν· Τίς ἐστιν ὁ ποταμὸς οὗτος,
all-holy(-one) wept and said what is the river this
καὶ τί τὰ κύματα αὐτοῦ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος·
and what (are)-the waves its and said the commander-in-chief
Οὗτος ὁ ποταμός ἐστιν τὸ πῦρ τὸ ἐξώτερον, καὶ οἱ
this the river is the fire the outer and the(-ones)
βασανιζόμενοί εἰσιν οἱ Ἰουδαῖοι οἱ σταυρώσαντες τὸν
being-tormented are the Jews the(-ones) having-crucified the
κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, καὶ οἱ
Lord our Jesus Christ the son — of-God and the(-ones)
τὸ ἅγιον βάπτισμα ἀρνησάμενοι, καὶ οἱ πορνεύοντες
the holy baptism having-denied and the(-ones) fornicating
περὶ ἄφλεκτον μύρον τῆς συντεκνίας, καὶ ὁ πορνεύων
around (the)-unburnt chrism of-the godparenthood and the(-one) fornicating
εἰς μητέρα καὶ θυγατέρα, καὶ οἱ φάρμακοι, καὶ οἱ
with (a)-mother and daughter and the sorcerers and the(-ones)
ἀποκτείνοντες μετὰ ξίφους, καὶ αἱ πνίγουσαι τὰ βρέφη.
killing with (the)-sword and the(-ones) choking the babes
καὶ εἶπεν ἡ παναγία· Κατὰ τὴν πίστιν αὐτῶν γενηθήτω
and said the all-holy(-one) according-to the faith their be-it-done
αὐτοῖς. καὶ εὐθέως ἔδυσαν τὰ κύματα ἐπάνω τῶν
to-them and immediately sank the waves above the
ἁμαρτωλῶν καὶ τὸ σκότος ἐπεκάλυψεν αὐτούς. καὶ εἶπεν
sinners and the darkness covered them and said
ὁ ἀρχιστράτηγος· Ἄκουσον, ἡ κεχαριτωμένη· ἐάν τις
the commander-in-chief hear (O)-the favored-one if anyone
βληθῇ ἐν τῷ σκότει τούτῳ, οὐκέτι αὐτοῦ μνεία γίνεται
be-cast into the darkness this no-longer of-him remembrance is-made
ἐνώπιον τοῦ θεοῦ. καὶ εἶπεν ἡ παναγία θεοτόκος· Οὐαὶ τοὺς
before — God and said the all-holy God-bearer woe (to)-the
ἁμαρτωλούς, ὅτι ἀτελεύτητός ἐστιν ἡ φλὸξ τοῦ πυρός.
sinners for endless is the flame of-the fire

Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Δεῦρο, παναγία, καὶ ὑποδείξω 24
and said the commander-in-chief come all-holy(-one) and I-will-show
σοι τὴν λίμνην τοῦ πυρός· καὶ θεώρησον ποῦ κολάζεται
you the lake of-the fire and behold where is-punished
τὸ γένος τῶν Χριστιανῶν. καὶ ἐξῆλθεν ἡ παναγία καὶ
the race of-the Christians and went-out the all-holy(-one) and
εἶδεν· καὶ τοὺς μὲν ἤκουεν, τοὺς δὲ οὐκ
saw and the(-ones) on-the-one-hand she-heard the(-ones) on-the-other not
ἐθεώρει· καὶ ἠρώτησεν τὸν ἀρχιστράτηγον· Τίνες εἰσὶν
she-beheld and asked the commander-in-chief who are
οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν ὁ
these and what (is)-the sin their and said the
ἀρχιστράτηγος· Οὗτοι εἰσιν, παναγία, οἱ βαπτισθέντες
commander-in-chief these are all-holy(-one) the(-ones) having-been-baptized
καὶ τῷ Χριστῷ λόγιον συνταξάμενοι, τὰ δὲ ἔργα τοῦ
and — to-Christ (the)-word having-pledged the but works of-the
διαβόλου ποιήσαντες, καὶ ἀπώλεσαν τὸν καιρὸν τῆς
devil having-done and they-lost the time of-the
μετανοίας αὐτῶν· καὶ διὰ τοῦτο ὧδε οὕτως κολάζονται.
repentance their and for this here thus they-are-punished
Καὶ εἶπεν· Δέομαι, μίαν αἴτησιν αἰτοῦμαι παρά σου, ἂς 25
and she-said I-beseech one request I-ask from you let
κολάζωμαι καὶ ἐγὼ μετὰ τοὺς Χριστιανούς, ὅτι τέκνα
be-punished also I with the Christians for children
τοῦ υἱοῦ μου εἰσίν. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Σὺ ἐν
of-the son my they-are and said the commander-in-chief you in
παραδείσῳ ἀναπαύει, ἁγία δέσποινα θεοτόκε. καὶ εἶπεν ἡ
paradise rest holy Lady God-bearer and said the
παναγία· Δέομαί σου, κίνησον τὰ δεκατέσσαρα στερεώματα
all-holy(-one) I-beseech you move the fourteen firmaments
καὶ τοὺς ἑπτὰ οὐρανούς, καὶ εὐξώμεθα διὰ τοὺς Χριστιανοὺς
and the seven heavens and let-us-pray for the Christians

ὅπως ἐπακούσῃ ἡμῶν κύριος ὁ θεὸς καὶ ἐλεήσῃ αὐτούς.
that may-hear us (the)-Lord — God and have-mercy-on them
καὶ εἶπεν ὁ ἀρχιστράτηγος· Ζῇ κύριος ὁ θεός, τὸ ὄνομα τὸ
and said the commander-in-chief lives (the)-Lord — God the name the
μέγα, ἑπτάκις τῆς ἡμέρας καὶ ἑπτάκις τῆς νυκτός, ὅταν τὸν
great seven-times of-the day and seven-times of-the night when the
ὕμνον τὸν δεσποτικὸν προσάγωμεν, μνείαν ποιοῦμεν διὰ
hymn the master's we-bring remembrance we-make for
τοὺς ἁμαρτωλούς, καὶ εἰς οὐδὲν ἡμᾶς λογίζεται ὁ κύριος.
the sinners and for nothing us reckons the Lord
26 Καὶ εἶπεν ἡ παναγία· Δέομαί σου, ἀρχιστράτηγε, κέλευσον
and said the all-holy(-one) I-beseech you commander-in-chief command
τὰς στρατιὰς τῶν ἀγγέλων καὶ ἀράτω με εἰς τὸ ὕψος τοῦ
the hosts of-the angels and let-them-lift me to the height of-the
οὐρανοῦ καὶ ῥήξατέ με ἔμπροσθεν τοῦ ἀοράτου πατρός.
heaven and cast me before the invisible father
καὶ εὐθέως ἐκέλευσεν ὁ ἀρχιστράτηγος, καὶ παρέστη τὸ
and immediately commanded the commander-in-chief and stood-by the
ἅρμα τὸ χερουβικὸν καὶ τῶν σεραφίμ, καὶ ὕψωσαν τὴν
chariot the cherubic and of-the seraphim and they-raised the
κεχαριτωμένην εἰς τὸ ὕψος τοῦ οὐρανοῦ καὶ ἔστησαν αὐτὴν
favored-one to the height of-the heaven and set her
ἔμπροσθεν τοῦ ἀοράτου πατρός· καὶ ἐξέτεινεν τὰς χεῖρας
before the invisible father and she-stretched-out the hands
αὐτῆς εἰς τὸν ἄχραντον τοῦ πατρὸς θρόνον καὶ εἶπεν·
her to the undefiled of-the father throne and said
Ἐλέησον, δέσποτα, τοὺς ἁμαρτωλοὺς Χριστιανούς, ὅτι εἶδον
have-mercy master (on)-the sinful Christians for I-saw
αὐτοὺς κολαζομένους καὶ οὐ βαστάζω τὸν θρῆνον αὐτῶν·
them being-punished and not I-bear the lament their
ἂς ἐξέλθω καὶ ἂς κολάζωμαι ἐγὼ μὲ τοὺς ἁμαρτωλοὺς
let I-go-out and let be-punished I with the sinful

Χριστιανούς. καὶ ἦλθεν φωνὴ πρὸς αὐτὴν λέγουσα· Πῶς
Christians and came (a)-voice to her saying how
ἔχω αὐτοὺς ἐλεῆσαι, ὅτι οὐκ ἠλέουν αὐτούς; ἡ δὲ ἁγία
am-I-able them to-pity since not they-pitied them the and holy
θεοτόκος εἶπεν πρὸς τὸν ἄχραντον τοῦ πατρὸς θρόνον· Οὐ
God-bearer said to the undefiled of-the father throne not
δέομαι, δέσποτα, διὰ τοὺς ἀπίστους Ἰουδαίους, ἀλλὰ διὰ
I-beseech master for the unbelieving Jews but for
τοὺς Χριστιανοὺς παρακαλῶ τὴν σὴν εὐσπλαγχνίαν. καὶ
the Christians I-entreat the your compassion and
ἦλθεν δευτέρα φωνὴ ἐκ τοῦ ἀοράτου πατρὸς λέγουσα·
came (a)-second voice from the invisible father saying
Πῶς ἔχω ἐλεῆσαι αὐτούς, ὅτι τοὺς ἰδίους ἀδελφοὺς οὐκ
how am-I-able to-pity them since the own brothers not
ἠλέησαν; καὶ εἶπεν ἡ παναγία· Δέσποτα, τοὺς ἁμαρτωλοὺς
they-pitied and said the all-holy(-one) master the sinners
ἐλέησον· ἔπιδε ἐπὶ τὰς κολάσεις, ὅτι πᾶσα ἡ κτίσις τὸ
pity look upon the punishments for all the creation the
ὄνομά μου ὀνομάζει ἐπὶ τῆς γῆς· καὶ ὅταν ἐξέρχηται ἡ ψυχὴ
name my names on the earth and when goes-out the soul
ἀπὸ τοῦ σώματος Ἁγία δέσποινα θεοτόκε, βοᾷ λέγουσα.
from the body holy Lady God-bearer it-cries saying
τότε εἶπεν αὐτῇ ὁ κύριος· Ἄκουσον, παναγία θεοτόκε, εἴ
then said to-her the Lord hear all-holy God-bearer if
τις τὸ ὄνομά σου ὀνομάζει καὶ ἐπικαλεῖται, ἐγὼ αὐτὸν
anyone the name your names and calls-on I him
οὐκ ἐγκαταλείπω, οὔτε ἐν τῷ οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς.
not forsake neither in the heaven nor upon the earth
Καὶ εἶπεν ἡ παναγία· Ποῦ ἐστιν ὁ Μωϋσῆς; ποῦ 27
and said the all-holy(-one) where is — Moses where
εἰσιν πάντες οἱ προφῆται καὶ πατέρες οἱ μηδέποτε
are all the prophets and fathers the(-ones) never

ἁμαρτήσαντες; ποῦ εἶ, ἅγιε Παῦλε τοῦ θεοῦ; ποῦ ἡ ἁγία
having-sinned where are-you holy Paul — of-God where (is)-the holy
κυριακή, τὸ καύχημα τῶν Χριστιανῶν; ποῦ ἡ δύναμις
Lord's-day the boast of-the Christians where (is)-the power
τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ὁ τὸν Ἀδὰμ καὶ τὴν
of-the precious and life-giving cross the(-one) — Adam and —
Εὔαν ἐκ τῆς ἀρχαίας κατάρας ῥυσάμενος; τότε Μιχαὴλ
Eve from the ancient curse having-delivered then Michael
καὶ πάντες οἱ ἄγγελοι ἦραν μίαν φωνὴν λέγοντες· Ἐλέησον,
and all the angels raised one voice saying have-mercy
δέσποτα, τοὺς ἁμαρτωλούς. τότε ἐλάλησεν καὶ Μωϋσῆς·
master (on)-the sinners then spoke also Moses
Ἐλέησον, δέσποτα, οὓς ἐγὼ τὸν νόμον σου ἔδωκα.
have-mercy master (on-those)-whom I the law your gave
τότε ἐβόησεν καὶ Ἰωάννης· Ἐλέησον, δέσποτα, οὓς
then cried also John have-mercy master (on-those)-whom
ἐγὼ τὸ εὐαγγέλιόν σου ἔδωκα. τότε ἐβόησεν καὶ Παῦλος·
I the gospel your gave then cried also Paul
Ἐλέησον, δέσποτα, οὓς ἐγὼ τὰς ἐπιστολάς σου ἔφερον
have-mercy master (on-those)-whom I the letters your carried
ἐν τῇ ἐκκλησίᾳ. καὶ εἶπεν κύριος ὁ θεός· Ἀκούσατε, πάντες
in the church and said (the)-Lord — God hear all
δίκαιοι· ἐὰν κατὰ τὸν νόμον, ὃν δέδωκεν Μωϋσῆς, καὶ
righteous(-ones) if according-to the law which has-given Moses and
κατὰ τὸ εὐαγγέλιον ὃ δέδωκεν Ἰωάννης, καὶ κατὰ
according-to the gospel which has-given John and according-to
τὰς ἐπιστολὰς ἃς ἔφερεν Παῦλος, οὕτως ἃς κριθῶσιν.
the letters which carried Paul thus let they-be-judged
καὶ οὐκ εἶχον τὸ τί εἰπεῖν εἰ μὴ Ἐλέησον, δικαιοκρίτα.
and not they-had the what to-say if not have-mercy righteous-judge

Καὶ εἶπεν ἡ παναγία θεοτόκος· Ἐλέησον, δέσποτα, τοὺς 28
and said the all-holy God-bearer have-mercy master (on)-the
Χριστιανούς, ὅτι καὶ τὸν νόμον σου ἐφύλαξαν, καὶ τὸ
Christians for both the law your they-kept and the
εὐαγγέλιόν σου ἐτήρησαν, ἀλλὰ ἰδιῶται ὑπῆρχον. τότε
gospel your they-guarded but simple(-folk) they-were then
εἶπεν αὐτῇ ὁ κύριος· Ἄκουσον, παναγία· ἐάν τις ἐποίησεν
said to-her the Lord hear all-holy(-one) if anyone did
αὐτοῖς κακόν, καὶ τὸ κακὸν οὐκ ἀνταπέδωκαν αὐτοῖς,
to-them evil and the evil not they-repaid to-them
καλῶς λέγεις ὅτι καὶ ἐν νόμῳ μου καὶ ἐν τῷ εὐαγγελίῳ
well you-say that both in (the)-law my and in the gospel
μου ἐμελέτησαν, εἰ δὲ οὐκ ἐποίησαν αὐτοῖς κακόν, καὶ
my they-studied if but not they-did to-them evil and
τὸ κακὸν ἀνταπέδωκαν αὐτοῖς, πῶς εἴπω ὅτι ἄνθρωποί
the evil they-repaid to-them how shall-I-say that men
εἰσιν οὗτοι; νῦν ἀποδοθήσεται αὐτοῖς κατὰ τὰ κακὰ
are these now it-shall-be-rendered to-them according-to the evils
αὐτῶν. τότε πάντες ἀκούσαντες τὴν φωνὴν τοῦ δεσπότου
their then all having-heard the voice of-the master
τί ἀποκριθῆναι οὐκ εἶχον· καὶ ἰδοῦσα ἡ παναγία ὅτι
what to-answer not they-had and having-seen the all-holy(-one) that
ἠπόρησαν οἱ ἅγιοι, καὶ ὁ δεσπότης αὐτῶν οὐκ ἀκούει, καὶ
were-at-a-loss the saints and the master their not hears and
τὸ ἔλεος αὐτοῦ ἀπεκρύβη ἀπ᾽ αὐτῶν, τότε εἶπεν ἡ παναγία·
the mercy his was-bidden from them then said the all-holy(-one)
Ποῦ ἐστιν Γαβριήλ, ὁ μηνύσας μοι τὸ Χαῖρε, ὅτι
where is Gabriel the(-one) having-announced to-me the hail that
πρὸ αἰώνων συλλήψῃ τὸν συνάναρχον τῷ πατρί,
before (the)-ages you-shall-conceive the(-one) co-eternal with-the father
καὶ ἄρτι ἐπὶ τοὺς ἁμαρτωλοὺς οὐκ ἐπιβλέπει; ποῦ ἐστιν ὁ
and now on the sinners not looks where is the

μέγας ἀρχιστράτηγος; δεῦτε, πάντες οἱ ἅγιοι οὓς ὁ θεὸς
great commander-in-chief come all the saints whom — God
ἐδικαίωσεν, καὶ πέσωμεν ἔμπροσθεν τοῦ ἀοράτου πατρός,
justified and let-us-fall before the invisible father
ὅπως ἐπακούσῃ ἡμῖν κύριος ὁ θεός, καὶ ἐλεήσῃ τοὺς
that may-hear us (the)-Lord — God and have-mercy-on the
ἁμαρτωλούς. τότε Μιχαὴλ ὁ ἀρχιστράτηγος καὶ πάντες οἱ
sinners then Michael the commander-in-chief and all the
ἅγιοι ἔπεσαν ἐπὶ πρόσωπον ἔμπροσθεν τοῦ ἀοράτου πατρός,
saints fell on (their)-face before the invisible father
λέγοντες· Ἐλέησον, δέσποτα, τοὺς ἁμαρτωλοὺς Χριστιανούς.
saying have-mercy master (on)-the sinful Christians
29 Τότε ἰδὼν ὁ δεσπότης τὴν δέησιν τῶν ἁγίων
then having-seen the master the entreaty of-the saints
σπλαγχνισθεὶς εἶπεν· Κάτελθε, υἱέ μου ἀγαπητέ, καὶ διὰ
having-had-compassion said go-down son my beloved and because-of
τὴν δέησιν τῶν ἁγίων ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τῆς
the entreaty of-the saints show the face your upon the
γῆς ἐπὶ τοὺς ἁμαρτωλούς. τότε κατῆλθεν ὁ δεσπότης ἐκ
earth upon the sinners then came-down the master from
τοῦ ἀχράντου αὐτοῦ θρόνου· καὶ ἰδόντες αὐτὸν οἱ ἐν
the undefiled his throne and having-seen him the(-ones) in
ταῖς κολάσεσιν ὄντες ἦραν πάντες μίαν φωνὴν λέγοντες·
the punishments being raised all one voice saying
Ἐλέησον ἡμᾶς, βασιλεῦ τῶν αἰώνων. τότε εἶπεν ὁ
have-mercy-on us king of-the ages then said the
δεσπότης τῶν ἁπάντων· Ἀκούσατε ἅπαντες ἁμαρτωλοὶ καὶ
master of-the all hear all sinners and
δίκαιοι· παράδεισον ἐποίησα καὶ ἄνθρωπον ἐποίησα κατ᾽
righteous paradise I-made and man I-made according-to
εἰκόνα ἐμήν· αὐτὸς δὲ παρέβη καὶ τοῖς ἰδίοις ἁμαρτήμασιν
image my he but transgressed and by-the own sins

θανάτῳ παρεδόθη· ἐγὼ δὲ οὐκ ἔφερον τὰ ἔργα τῶν χειρῶν
to-death was-handed-over I but not I-bore the works of-the hands
μου τυραννουμένων ὑπὸ τοῦ δράκοντος· διὸ καὶ ἔκλινα
my tyrannized by the dragon wherefore also I-bowed
οὐρανοὺς καὶ κατέβην καὶ ἐτέχθην ἐκ τῆς ἁγίας ἀχράντου
(the)-heavens and came-down and was-born from the holy undefiled
θεοτόκου Μαρίας ἵνα ὑμᾶς ἐλευθερώσω· εἰς τὸν Ἰορδάνην
God-bearer Mary that you I-might-free in the Jordan
ἐβαπτίσθην ἵνα τὴν παλαιωθεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν
I-was-baptized that the made-old by the sin nature
διασώσω· τῷ σταυρῷ προσηλώθην διὰ τὸ ἐλευθερῶσαι
I-might-save to-the cross I-was-nailed for the to-free
ὑμᾶς ἐκ τῆς ἀρχαίας κατάρας· ὕδωρ ἐζήτησα καὶ ἐδώκατέ
you from the ancient curse water I-asked and you-gave
μοι ὄξος μετὰ χολῆς μεμιγμένον· ἐν μνημείῳ ἐτέθην· τὸν
me vinegar with gall mixed in (a)-tomb I-was-laid the
ἐχθρὸν κατεπάτησα· τοὺς ἐκλεκτούς μου ἀνέστησα, καὶ
enemy I-trampled the elect my I-raised and
οὐδὲ οὕτως ἠθελήσατέ μου ἀκοῦσαι. νυνὶ δέ, διὰ τὴν
not-even thus you-wished me to-hear now but because-of the
δέησιν τῆς μητρός μου Μαρίας, ὅτι ἔκλαυσεν δι' ὑμᾶς
entreaty of-the mother my Mary because she-wept for you
πολύ, καὶ διὰ Μιχαὴλ τὸν ἀρχάγγελόν μου, καὶ διὰ
much and because-of Michael the archangel my and because-of
τὰ πλήθη τῶν ἁγίων μου χαρίζομαι ὑμῖν τὰς ἡμέρας
the multitudes of-the saints my I-grant you the days
τῆς πεντηκοστῆς ἔχειν ἀνάπαυσιν εἰς τὸ δοξάζειν πατέρα
of-the Pentecost to-have rest for the to-glorify father
καὶ υἱὸν καὶ ἅγιον πνεῦμα.
and son and holy spirit

30 Τότε πάντες ἄγγελοι καὶ ἀρχάγγελοι, θρόνοι, κυριότητες,
then all angels and archangels thrones dominions
ἀρχαί, ἐξουσίαι, δυνάμεις καὶ τὰ πολυόμματα χερουβὶμ
principalities authorities powers and the many-eyed cherubim
καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ καὶ πάντες ἀπόστολοι καὶ
and the six-winged seraphim and all apostles and
προφῆται καὶ μάρτυρες καὶ πάντες ἅγιοι ἦραν μίαν φωνὴν
prophets and martyrs and all saints raised one voice
λέγοντες· Δόξα σοι, δέσποτα· δόξα σοι, φιλάνθρωπε· δόξα
saying glory to-you master glory to-you lover-of-mankind glory
σοι, βασιλεῦ τῶν αἰώνων· δόξα τῇ σῇ εὐσπλαγχνίᾳ·
to-you king of-the ages glory to-the your compassion
δόξα τῇ σῇ μακροθυμίᾳ· δόξα τῇ σῇ ἀνεκδιηγήτῳ
glory to-the your long-suffering glory to-the your indescribable
δικαιοκρισίᾳ, ὅτι ἐμακροθύμησας ὑπὲρ ἁμαρτωλῶν καὶ
righteous-judgment that you-were-long-suffering for sinners and
ἀσεβῶν· σοῦ ἐστιν τὸ ἐλεεῖν καὶ σώζειν. αὐτῷ ἡ δόξα
impious yours is the to-pity and to-save to-him (be)-the glory
καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ
and the might together-with the father and the son and the
ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
holy spirit to the ages of-the ages amen

ANONYMOUS

ΠΡΑΞΕΙΣ ΠΑΥΛΟΥ ΚΑΙ ΘΕΚΛΗΣ

The Acts of Paul and Thecla

Πράξεις Παύλου καὶ Θέκλης

XIII · THE ACTS OF PAUL AND THECLA

At Iconium Paul preaches continence in Onesiphorus' house, and Thecla, betrothed to Thamyris, listens three days at her window. Her mother sends for Thamyris, who, prompted by Demas and Hermogenes, brings Paul before the governor; Thecla bribes her way into his prison, and when found, Paul is scourged out of the city and she is sentenced to burn, but a storm quenches the pyre. She finds Paul in a tomb outside the city and follows him to Antioch, where she repulses the Syriarch Alexander and is condemned to the beasts. Queen Tryphaena shelters her; a lioness defends her in the arena, she baptizes herself in a pool of seals, and fire, perfumes, and burned bonds keep the beasts and bulls from her, until Tryphaena faints and the governor releases her. She instructs Tryphaena's household, finds Paul at Myra and is sent to teach, visits Iconium, where Thamyris is dead, and dies at Seleucia.

Ἀναβαίνοντος Παύλου εἰς Ἰκόνιον μετὰ τὴν φυγὴν τὴν ἀπὸ 1
going-up Paul to Iconium after the flight the(-one) from
Ἀντιοχείας ἐγενήθησαν σύνοδοι αὐτῷ Δημᾶς καὶ Ἑρμογένης
Antioch became companions to-him Demas and Hermogenes
ὁ χαλκεύς, ὑποκρίσεως γέμοντες, καὶ ἐξελιπάρουν τὸν
the coppersmith of-hypocrisy full and they-importuned —
Παῦλον ὡς ἀγαπῶντες αὐτόν. ὁ δὲ Παῦλος ἀποβλέπων
Paul as loving him — and Paul looking
εἰς μόνην τὴν ἀγαθοσύνην τοῦ Χριστοῦ οὐδὲν φαῦλον ἐποίει
to only the goodness — of-Christ nothing bad did
αὐτοῖς, ἀλλ' ἔστεργεν αὐτοὺς σφόδρα, ὥστε πάντα τὰ
to-them but he-loved them greatly so-that all the
λόγια κυρίου καὶ τῆς γεννήσεως καὶ τῆς ἀναστάσεως τοῦ
oracles of-(the)-Lord and of-the birth and of-the resurrection of-the
ἠγαπημένου ἐγλύκαινεν αὐτούς, καὶ τὰ μεγαλεῖα τοῦ Χριστοῦ,
beloved he-made-sweet them and the mighty-works — of-Christ
πῶς ἀπεκαλύφθη αὐτῷ, κατὰ ῥῆμα διηγεῖτο αὐτοῖς.
how they-were-revealed to-him according-to word he-related to-them

2 Καί τις ἀνὴρ ὀνόματι Ὀνησιφόρος ἀκούσας τὸν Παῦλον
and (a)-certain man by-name Onesiphorus having-heard — Paul
παραγενόμενον εἰς Ἰκόνιον, ἐξῆλθεν σὺν τοῖς τέκνοις αὐτοῦ
having-arrived at Iconium went-out with the children his
Σιμμίᾳ καὶ Ζήνωνι καὶ τῇ γυναικὶ αὐτοῦ Λέκτρᾳ εἰς
Simmias and Zeno and the wife his Lectra to
συνάντησιν Παύλου, ἵνα αὐτὸν ὑποδέξηται· διηγήσατο γὰρ
(the)-meeting of-Paul that him he-might-receive had-related for
αὐτῷ Τίτος ποταπός ἐστιν τῇ εἰδέᾳ ὁ Παῦλος· οὐ
to-him Titus of-what-sort is in-the appearance — Paul not
γὰρ εἶδεν αὐτὸν σαρκὶ ἀλλὰ μόνον πνεύματι.
for he-had-seen him in-(the)-flesh but only in-(the)-spirit
3 Καὶ ἐπορεύετο κατὰ τὴν βασιλικὴν ὁδὸν τὴν ἐπὶ Λύστραν,
and he-went along the royal road the(-one) to Lystra
καὶ εἱστήκει ἀπεκδεχόμενος αὐτόν, καὶ τοὺς ἐρχομένους
and stood awaiting him and the(-ones) coming
ἐθεώρει κατὰ τὴν μήνυσιν Τίτου. εἶδεν δὲ τὸν Παῦλον
he-watched according-to the description of-Titus he-saw and — Paul
ἐρχόμενον, ἄνδρα μικρὸν τῷ μεγέθει, ψιλὸν τῇ κεφαλῇ,
coming (a)-man small in-the stature bald in-the head
ἀγκύλον ταῖς κνήμαις, εὐεκτικόν, σύνοφρυν, μικρῶς
bowed in-the legs of-good-condition with-meeting-brows slightly
ἐπίρρινον, χάριτος πλήρη· ποτὲ μὲν γὰρ ἐφαίνετο
long-nosed of-grace full at-one-time on-the-one-hand for he-appeared
ὡς ἄνθρωπος, ποτὲ δὲ ἀγγέλου πρόσωπον εἶχεν.
as (a)-man at-another on-the-other of-(an)-angel (the)-face he-had
4 Καὶ ἰδὼν ὁ Παῦλος τὸν Ὀνησιφόρον ἐμειδίασεν, καὶ
and having-seen — Paul — Onesiphorus smiled and
εἶπεν ὁ Ὀνησιφόρος Χαῖρε, ὑπηρέτα τοῦ εὐλογημένου
said — Onesiphorus hail servant of-the blessed
θεοῦ· κἀκεῖνος εἶπεν Ἡ χάρις μετὰ σοῦ καὶ τοῦ οἴκου
God and-he said the grace (be)-with you and the house

σου. Δημᾶς δὲ καὶ Ἑρμογένης ἐζήλωσαν καὶ πλείονα τὴν
your Demas and also Hermogenes were-jealous and greater the
ὑπόκρισιν ἐκίνησαν, ὡς εἰπεῖν τὸν Δημᾶν Ἡμεῖς οὐκ ἐσμὲν
hypocrisy stirred so-as to-say — Demas we not are
τοῦ εὐλογημένου, ὅτι ἡμᾶς οὐκ ἠσπάσω οὕτως; καὶ εἶπεν ὁ
of-the blessed(-one) that us not you-greeted thus and said —
Ὀνησιφόρος Οὐχ ὁρῶ ἐν ὑμῖν καρπὸν δικαιοσύνης· εἰ δὲ ἔστε
Onesiphorus not I-see in you fruit of-righteousness if but you-are
τινές, δεῦτε καὶ ὑμεῖς εἰς τὸν οἰκόν μου καὶ ἀναπαύσασθε.
anything come also you into the house my and rest
Καὶ εἰσελθόντος Παύλου εἰς τὸν τοῦ Ὀνησιφόρου οἶκον 5
and having-entered Paul into the — of-Onesiphorus house
ἐγένετο χαρὰ μεγάλη, καὶ κλίσις γονάτων καὶ κλάσις
there-was joy great and bending of-knees and breaking
ἄρτου καὶ λόγος θεοῦ περὶ ἐγκρατείας καὶ ἀναστάσεως,
of-bread and (the)-word of-God about continence and resurrection
λέγοντος τοῦ Παύλου Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
saying — Paul blessed (are)-the pure in-the heart
ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. μακάριοι οἱ ἁγνὴν
for they — God shall-see blessed (are)-the(-ones) pure
τὴν σάρκα τηρήσαντες, ὅτι αὐτοὶ ναὸς θεοῦ γενήσονται.
the flesh having-kept for they (a)-temple of-God shall-become
μακάριοι οἱ ἐγκρατεῖς, ὅτι αὐτοῖς λαλήσει ὁ θεός.
blessed (are)-the continent for to-them will-speak — God
μακάριοι οἱ ἀποταξάμενοι τῷ κόσμῳ τούτῳ, ὅτι
blessed (are)-the(-ones) having-renounced the world this for
αὐτοὶ εὐαρεστήσουσιν τῷ θεῷ. μακάριοι οἱ ἔχοντες
they shall-please — God blessed (are)-the(-ones) having
γυναῖκας ὡς μὴ ἔχοντες, ὅτι αὐτοὶ κληρονομήσουσιν τὸν
wives as not having for they shall-inherit —

θεόν. μακάριοι οἱ φόβον ἔχοντες θεοῦ, ὅτι αὐτοὶ
God blessed (are)-the(-ones) fear having of-God for they
ἄγγελοι θεοῦ γενήσονται.
angels of-God shall-become

6 Μακάριοι οἱ τρέμοντες τὰ λόγια τοῦ θεοῦ, ὅτι αὐτοὶ
blessed (are)-the(-ones) trembling-at the oracles — of-God for they
παρακληθήσονται. μακάριοι οἱ σοφίαν λαβόντες
shall-be-comforted blessed (are)-the(-ones) wisdom having-received
Ἰησοῦ Χριστοῦ, ὅτι αὐτοὶ υἱοὶ ὑψίστου κληθήσονται.
of-Jesus Christ for they sons of-(the)-most-high shall-be-called
μακάριοι οἱ τὸ βάπτισμα τηρήσαντες, ὅτι αὐτοὶ
blessed (are)-the(-ones) the baptism having-kept for they
ἀναπαύσονται πρὸς τὸν πατέρα καὶ τὸν υἱόν. μακάριοι
shall-rest with the father and the son blessed
οἱ σύνεσιν Ἰησοῦ Χριστοῦ χωρήσαντες, ὅτι αὐτοὶ
(are)-the(-ones) understanding of-Jesus Christ having-contained for they
ἐν φωτὶ γενήσονται. μακάριοι οἱ δι᾽ ἀγάπην θεοῦ
in light shall-be blessed (are)-the(-ones) for love of-God
ἐξελθόντες τοῦ σχήματος τοῦ κοσμικοῦ, ὅτι αὐτοὶ ἀγγέλους
having-gone-out of-the form of-the worldly for they angels
κρινοῦσιν καὶ ἐν δεξιᾷ τοῦ πατρὸς εὐλογηθήσονται.
shall-judge and at (the)-right-hand of-the father shall-be-blessed
μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται καὶ οὐκ
blessed (are)-the merciful for they shall-obtain-mercy and not
ὄψονται ἡμέραν κρίσεως πικράν. μακάρια τὰ σώματα
shall-see (the)-day of-judgment bitter blessed (are)-the bodies
τῶν παρθένων, ὅτι αὐτὰ εὐαρεστήσουσιν τῷ θεῷ καὶ οὐκ
of-the virgins for they shall-please — God and not
ἀπολέσουσιν τὸν μισθὸν τῆς ἁγνείας αὐτῶν· ὅτι ὁ λόγος
shall-lose the wage of-the chastity their for the word

τοῦ πατρὸς ἔργον αὐτοῖς γενήσεται σωτηρίας εἰς ἡμέραν
of-the father (a)-work for-them shall-become of-salvation for (the)-day
τοῦ υἱοῦ αὐτοῦ, καὶ ἀνάπαυσιν ἕξουσιν εἰς αἰῶνα αἰῶνος.
of-the son his and rest they-shall-have for (the)-age of-(the)-age
Καὶ ταῦτα τοῦ Παύλου λέγοντος ἐν μέσῳ τῆς ἐκκλησίας 7
and these(-things) — Paul saying in (the)-midst of-the church
ἐν τῷ Ὀνησιφόρου οἴκῳ, Θέκλα τις παρθένος Θεοκλείας
in the of-Onesiphorus house Thecla (a)-certain virgin of-Theoclia
μητρὸς μεμνηστευμένη ἀνδρὶ Θαμύριδι, καθεσθεῖσα ἐπὶ
(her)-mother betrothed to-(a)-man Thamyris having-sat at
τῆς σύνεγγυς θυρίδος τοῦ οἴκου ἤκουεν νυκτὸς καὶ ἡμέρας
the nearby window of-the house heard by-night and day
τὸν περὶ ἁγνείας λόγον λεγόμενον ὑπὸ τοῦ Παύλου· καὶ
the about chastity word spoken by — Paul and
οὐκ ἀπένευεν ἀπὸ τῆς θυρίδος, ἀλλὰ τῇ πίστει ἐπήγετο
not she-turned-away from the window but by-the faith was-led
ὑπερευφραινομένη. ἔτι δὲ καὶ βλέπουσα πολλὰς γυναῖκας
rejoicing-exceedingly still and also seeing many women
καὶ παρθένους εἰσπορευομένας πρὸς τὸν Παῦλον, ἐπεπόθει
and virgins going-in to — Paul she-longed
καὶ αὐτὴ καταξιωθῆναι κατὰ πρόσωπον στῆναι Παύλου
also herself to-be-deemed-worthy before (the)-face to-stand of-Paul
καὶ ἀκούειν τὸν τοῦ Χριστοῦ λόγον· οὐδέπω γὰρ τὸν
and to-hear the — of-Christ word not-yet for the
χαρακτῆρα Παύλου ἑωράκει, ἀλλὰ τοῦ λόγου ἤκουεν μόνον.
form of-Paul she-had-seen but the word she-heard only
Ὡς δὲ οὐκ ἀφίστατο ἀπὸ τῆς θυρίδος, πέμπει ἡ μήτηρ 8
when and not she-withdrew from the window sends the mother
αὐτῆς πρὸς τὸν Θάμυριν· ὁ δὲ ἔρχεται περιχαρής, ὡς ἤδη
her to — Thamyris he and comes overjoyed as already
λαμβάνων αὐτὴν πρὸς γάμον. εἶπεν οὖν ὁ Θάμυρις πρὸς
taking her to marriage said then — Thamyris to

Θεοκλείαν Ποῦ μού ἐστιν ἡ Θέκλα; Καὶ εἶπεν ἡ Θεοκλεία
Theoclia where my is — Thecla and said — Theoclia
Καινόν σοι ἔχω εἰπεῖν διήγημα, Θάμυρι. καὶ γὰρ ἡμέρας
(a)-new to-you I-have to-tell story Thamyris and for days
τρεῖς καὶ νύκτας τρεῖς Θέκλα ἀπὸ τῆς θυρίδος οὐκ ἐγείρεται,
three and nights three Thecla from the window not rises
οὔτε ἐπὶ τὸ φαγεῖν οὔτε ἐπὶ τὸ πιεῖν, ἀλλὰ ἀτενίζουσα ὡς
neither for the to-eat nor for the to-drink but gazing as
πρὸς εὐφρασίαν, οὕτως πρόσκειται ἀνδρὶ ξένῳ ἀπατηλοὺς
to (a)-delight thus she-clings to-(a)-man stranger deceitful
καὶ ποικίλους λόγους διδάσκοντι, ὥστε με θαυμάζειν πῶς
and various words teaching so-that me to-marvel how
ἡ τοιαύτη αἰδὼς τῆς παρθένου χαλεπῶς ἐνοχλεῖται.
the such modesty of-the virgin grievously is-troubled
9 Θάμυρι, ὁ ἄνθρωπος οὗτος τὴν Ἰκονιέων πόλιν ἀνασείει,
Thamyris the man this the of-the-Iconians city shakes-up
ἔτι δὲ καὶ τὴν σὴν Θέκλαν· πᾶσαι γὰρ αἱ γυναῖκες καὶ οἱ
still and also the your Thecla all for the women and the
νέοι εἰσέρχονται πρὸς αὐτόν, διδασκόμενοι παρ᾽ αὐτοῦ
young-men go-in to him being-taught by him
ὅτι Δεῖ, φησίν, ἕνα καὶ μόνον θεὸν φοβεῖσθαι καὶ ζῆν
that (one)-must be-says one and only God to-fear and to-live
ἁγνῶς. ἔτι δὲ καὶ ἡ θυγάτηρ μου ὡς ἀράχνη ἐπὶ τῆς
chastely still and also the daughter my like (a)-spider at the
θυρίδος δεδεμένη τοῖς ὑπ᾽ αὐτοῦ λόγοις κρατεῖται ἐπιθυμίᾳ
window bound by-the by him words is-held by-desire
καινῇ καὶ πάθει δεινῷ. ἀτενίζει γὰρ τοῖς λεγομένοις
new and by-passion terrible she-gazes for at-the(-things) said
ὑπ᾽ αὐτοῦ καὶ ἑάλωται ἡ παρθένος. ἀλλὰ πρόσελθε
by him and has-been-captured the virgin but go-to
αὐτῇ σὺ καὶ λάλησον· σοὶ γάρ ἐστιν ἡρμοσμένη.
her you and speak to-you for she-is joined

Καὶ προσελθὼν Θάμυρις, ἅμα μὲν φιλῶν αὐτήν, 10
and having-approached Thamyris at-once on-the-one-hand loving her
ἅμα δὲ καὶ φοβούμενος τὴν ἔκπληξιν αὐτῆς, εἶπεν
at-once on-the-other also fearing the amazement her said
Θέκλα ἐμοὶ μνηστευθεῖσα, τί τοιαύτη κάθησαι; καὶ ποῖόν
Thecla to-me betrothed why such(-wise) do-you-sit and what-sort
σε πάθος κατέχει ἔκπληκτον; ἐπιστράφηθι πρὸς τὸν σὸν
you passion holds astounded turn to the your
Θάμυριν καὶ αἰσχύνθητι. Ἔτι δὲ καὶ ἡ μήτηρ αὐτῆς
Thamyris and be-ashamed still and also the mother her
τὰ αὐτὰ ἔλεγεν Τέκνον, τί τοιαύτη κάτω βλέπουσα
the same(-things) said child why such(-wise) down looking
κάθησαι, καὶ μηδὲν ἀποκρινομένη ἀλλὰ παραπλήξ; Καὶ
do-you-sit and nothing answering but distraught and
οἱ μὲν ἔκλαιον δεινῶς, Θάμυρις μὲν
the(-ones) on-the-one-hand wept terribly Thamyris on-the-one-hand
γυναικὸς ἀστοχῶν, Θεοκλεία δὲ τέκνου, αἱ δὲ
(his)-wife missing Theoclia on-the-other (her)-child the and
παιδίσκαι κυρίας· πολλὴ οὖν σύγχυσις ἦν ἐν τῷ
maidservants (their)-mistress great then confusion was in the
οἴκῳ πένθους. καὶ τούτων οὕτως γινομένων Θέκλα οὐκ
house of-mourning and these(-things) thus happening Thecla not
ἀπεστράφη, ἀλλ᾽ ἦν ἀτενίζουσα τῷ λόγῳ Παύλου.
turned-away but was gazing at-the word of-Paul
Ὁ δὲ Θάμυρις ἀναπηδήσας ἐξῆλθεν εἰς τὸ ἄμφοδον, καὶ 11
— and Thamyris having-leaped-up went-out into the street and
παρετήρει τοὺς εἰσερχομένους πρὸς τὸν Παῦλον καὶ
watched the(-ones) going-in to — Paul and
ἐξερχομένους. καὶ εἶδεν δύο ἄνδρας εἰς ἑαυτοὺς μαχομένους
coming-out and he-saw two men among themselves fighting
πικρῶς, καὶ εἶπεν πρὸς αὐτούς Ἄνδρες, τίνες ἐστὲ εἴπατέ μοι,
bitterly and said to them men who you-are tell me

καὶ τίς οὗτος ὁ ἔσω μεθ' ὑμῶν, πλανῶν ψυχὰς νέων
and who (is)-this the(-one) inside with you deceiving (the)-souls of-young-men
καὶ παρθένων ἀπατῶν, ἵνα γάμοι μὴ γίνωνται ἀλλὰ οὕτως
and virgins deceiving(-them) that marriages not take-place but thus
μένωσιν· ὑπισχνοῦμαι οὖν ὑμῖν δοῦναι πολλὰ χρήματα,
they-remain I-promise then you to-give much money
ἐὰν εἴπητέ μοι περὶ αὐτοῦ· εἰμὶ γὰρ πρῶτος τῆς πόλεως.
if you-tell me about him I-am for (the)-first of-the city

12 Καὶ ὁ Δημᾶς καὶ Ἑρμογένης εἶπον αὐτῷ Οὗτος
and — Demas and Hermogenes said to-him this(-man)
μὲν τίς ἐστιν, οὐκ οἴδαμεν· στερεῖ δὲ νέους
on-the-one-hand who he-is not we-know he-deprives on-the-other young-men
γυναικῶν καὶ παρθένους ἀνδρῶν, λέγων Ἄλλως ἀνάστασις
of-wives and virgins of-husbands saying otherwise resurrection
ὑμῖν οὐκ ἔστιν, ἐὰν μὴ ἁγνοὶ μείνητε καὶ τὴν σάρκα
for-you not is if not chaste you-remain and the flesh
μὴ μολύνητε ἀλλὰ τηρήσητε ἁγνήν.
not defile but keep(-it) chaste

13 Ὁ δὲ Θάμυρις εἶπεν αὐτοῖς Δεῦτε, ἄνδρες, εἰς τὸν οἶκόν μου
— and Thamyris said to-them come men into the house my
καὶ ἀναπαύσασθε μετ' ἐμοῦ. καὶ ἀπῆλθον εἰς πολύτιμον
and rest with me and they-went-away to (a)-costly
δεῖπνον καὶ πολὺν οἶνον καὶ πλοῦτον μέγαν καὶ τράπεζαν
supper and much wine and wealth great and (a)-table
λαμπράν· καὶ ἐπότισεν αὐτοὺς ὁ Θάμυρις, φιλῶν τὴν
splendid and gave-to-drink them — Thamyris loving —
Θέκλαν καὶ θέλων τυχεῖν γυναικός. καὶ εἶπεν ἐν τῷ δείπνῳ ὁ
Thecla and wishing to-obtain (her-as)-wife and said at the supper —
Θάμυρις Ἄνδρες, εἴπατέ μοι, τίς ἐστιν ἡ διδασκαλία αὐτοῦ,
Thamyris men tell me what is the teaching his

ἵνα κἀγὼ γνῶ· οὐ γὰρ μικρῶς ἀγωνιῶ περὶ τῆς Θέκλης,
that I-too may-know not for slightly I-am-anxious about — Thecla
ὅτι οὕτως φιλεῖ τὸν ξένον καὶ ἀποστεροῦμαι γάμου.
because thus she-loves the stranger and I-am-deprived of-marriage
Εἶπον δὲ Δημᾶς καὶ Ἑρμογένης Προσάγαγε αὐτὸν τῷ 14
said and Demas and Hermogenes bring him to-the
ἡγεμόνι Καστελίῳ ὡς ἀναπείθοντα τοὺς ὄχλους ἐπὶ
governor Castelius as persuading the crowds to
καινῇ διδαχῇ Χριστιανῶν, καὶ οὕτως ἀπολεῖ αὐτὸν
(the)-new teaching of-(the)-Christians and thus he-will-destroy him
καὶ σὺ ἕξεις τὴν γυναῖκά σου Θέκλαν. καὶ ἡμεῖς σε
and you will-have the wife your Thecla and we you
διδάξομεν, ἣν λέγει οὗτος ἀνάστασιν γενέσθαι, ὅτι
will-teach which says this(-man) resurrection to-have-happened that
ἤδη γέγονεν ἐφ' οἷς ἔχομεν τέκνοις.
already it-has-happened in which we-have children
Ὁ δὲ Θάμυρις ἀκούσας παρ' αὐτῶν ταῦτα, καὶ πλησθεὶς 15
— and Thamyris having-heard from them these(-things) and filled
ζήλου καὶ θυμοῦ ὄρθρου ἀναστὰς εἰς τὸν οἶκον
with-jealousy and anger at-dawn having-risen to the house
Ὀνησιφόρου ἀπῆλθεν μετὰ ἀρχόντων καὶ δημοσίων καὶ
of-Onesiphorus went with rulers and public-officers and
ὄχλου ἱκανοῦ μετὰ ξύλων, λέγων τῷ Παύλῳ Διέφθειρας
(a)-crowd considerable with clubs saying — to-Paul you-have-corrupted
τὴν Ἰκονιέων πόλιν καὶ τὴν ἡρμοσμένην μοι, ἵνα μὴ
the of-the-Iconians city and the(-one) betrothed to-me that not
θελήσῃ με· ἄγωμεν ἐπὶ τὸν ἡγεμόνα Καστέλιον. Καὶ
she-wants me let-us-lead(-you) to the governor Castelius and
πᾶς ὁ ὄχλος ἔλεγεν Ἀπάγαγε τὸν μάγον· διέφθειρεν γὰρ
all the crowd said take-away the sorcerer he-has-corrupted for
ἡμῶν πάσας τὰς γυναῖκας, καὶ συνεπείσθησαν οἱ ὄχλοι.
our all the wives and were-persuaded-together the crowds

16 Καὶ στὰς πρὸ τοῦ βήματος ὁ Θάμυρις κραυγῇ
and having-stood before the judgment-seat — Thamyris with-(a)-shout
μεγάλῃ εἶπεν Ἀνθύπατε, ὁ ἄνθρωπος οὗτος οὐκ οἴδαμεν
great said proconsul the man this not we-know
πόθεν ἐστίν, ὃς οὐκ ἐᾷ γαμεῖσθαι τὰς παρθένους· εἰπάτω
whence he-is who not allows to-marry the virgins let-him-say
ἐπὶ σοῦ τίνος ἕνεκεν ταῦτα διδάσκει. Ὁ δὲ Δημᾶς καὶ
before you for-what reason these(-things) he-teaches — and Demas and
Ἑρμογένης εἶπον τῷ Θαμύριδι Λέγε αὐτὸν Χριστιανόν,
Hermogenes said — to-Thamyris say him (is-a)-Christian
καὶ οὕτως ἀπολέσεις αὐτόν. Ὁ δὲ ἡγεμὼν ἔστησεν τὴν
and thus you-will-destroy him the and governor fixed the
διάνοιαν αὐτοῦ καὶ ἐκάλεσεν τὸν Παῦλον λέγων αὐτῷ Τίς
mind his and called — Paul saying to-him who
εἶ, καὶ τί διδάσκεις; οὐ γὰρ μικρῶς σου κατηγοροῦσιν.
are-you and what do-you-teach not for slightly you they-accuse
17 Καὶ ἦρεν τὴν φωνὴν αὐτοῦ ὁ Παῦλος λέγων Εἰ ἐγὼ
and lifted-up the voice his — Paul saying if I
σήμερον ἀνακρίνομαι τί διδάσκω, ἄκουσον, ἀνθύπατε.
today am-examined what I-teach hear proconsul
Θεὸς ζῶν, θεὸς ἐκδικήσεων, θεὸς ζηλωτής, θεὸς ἀπροσδεής,
God living God of-vengeances God jealous God needing-nothing
χρῄζων τῆς τῶν ἀνθρώπων σωτηρίας ἔπεμψέν με, ὅπως
needing the of-the men salvation sent me that
ἀπὸ τῆς φθορᾶς καὶ τῆς ἀκαθαρσίας ἀποσπάσω αὐτοὺς
from the corruption and the uncleanness I-might-draw-away them
καὶ πάσης ἡδονῆς καὶ θανάτου, ὅπως μηκέτι ἁμαρτάνωσιν·
and (from)-all pleasure and death that no-longer they-sin
διὸ ἔπεμψεν ὁ θεὸς τὸν ἑαυτοῦ παῖδα, ὃν ἐγὼ
wherefore sent — God the his-own child whom I
εὐαγγελίζομαι καὶ διδάσκω ἐν ἐκείνῳ ἔχειν τὴν ἐλπίδα τοὺς
preach and teach in him to-have the hope the

ἀνθρώπους, ὃς μόνος συνεπάθησεν πλανωμένῳ κόσμῳ, ἵνα
men who alone had-compassion on-(a)-wandering world that
μηκέτι ὑπὸ κρίσιν ὦσιν οἱ ἄνθρωποι, ἀλλὰ πίστιν ἔχωσιν
no-longer under judgment be the men but faith they-may-have
καὶ φόβον θεοῦ καὶ γνῶσιν σεμνότητος καὶ ἀγάπην
and fear of-God and knowledge of-reverence and love
ἀληθείας. εἰ οὖν ἐγὼ τὰ ὑπὸ θεοῦ μοι ἀποκεκαλυμμένα
of-truth if then I the(-things) by God to-me revealed
διδάσκω, τί ἀδικῶ, ἀνθύπατε; Ὁ δὲ ἡγεμὼν ἀκούσας
teach what do-I-wrong proconsul the and governor having-heard
ἐκέλευσεν δεθῆναι τὸν Παῦλον καὶ εἰς φυλακὴν ἀπαχθῆναι,
ordered to-be-bound — Paul and into prison to-be-led-away
μέχρις ἂν εὐσχολήσας ἐπιμελέστερον ἀκούσῃ αὐτοῦ.
until — having-leisure more-carefully he-might-hear him
Ἡ δὲ Θέκλα νυκτὸς περιελομένη τὰ ψέλια ἔδωκεν τῷ 18
— and Thecla by-night having-taken-off the bracelets gave(-them) to-the
πυλωρῷ, καὶ ἀνοιγείσης αὐτῇ τῆς θύρας ἀπῆλθεν εἰς τὴν
gatekeeper and having-been-opened to-her the door she-went into the
φυλακήν· καὶ δοῦσα τῷ δεσμοφύλακι κάτοπτρον ἀργυροῦν
prison and having-given to-the jailer (a)-mirror silver
εἰσῆλθεν πρὸς τὸν Παῦλον, καὶ καθίσασα παρὰ τοὺς πόδας
went-in to — Paul and having-sat at the feet
αὐτοῦ ἤκουσεν τὰ μεγαλεῖα τοῦ θεοῦ. καὶ οὐδὲν ἐδεδοίκει
his heard the mighty-works — of-God and nothing feared
ὁ Παῦλος, ἀλλὰ τῇ τοῦ θεοῦ παρρησίᾳ ἐνεπολιτεύετο·
— Paul but in-the — of-God boldness he-conducted-himself
κἀκείνης ηὔξανεν ἡ πίστις, καταφιλούσης τὰ δεσμὰ αὐτοῦ.
and-her grew the faith kissing the bonds his
Ὡς δὲ ἐζητεῖτο Θέκλα ὑπὸ τῶν ἰδίων καὶ Θαμύριδος, 19
when and was-sought Thecla by the own(-people) and Thamyris
ὡς ἀπολλυμένη ἐδιώκετο κατὰ τὰς ὁδούς, καί τις τῶν
as lost she-was-pursued along the roads and one of-the

συνδούλων τοῦ πυλωροῦ ἐμήνυσεν ὅτι νυκτὸς ἐξῆλθεν. καὶ
fellow-slaves of-the gatekeeper disclosed that by-night she-went-out and
ἀνήτασαν τὸν πυλωρόν, καὶ εἶπεν αὐτοῖς ὅτι πεπόρευται
they-examined the gatekeeper and he-said to-them that she-has-gone
πρὸς τὸν ξένον εἰς τὸ δεσμωτήριον· καὶ ἀπῆλθον
to the stranger into the prison and they-went-away
καθὼς εἶπεν αὐτοῖς καὶ εὗρον αὐτὴν τρόπον τινὰ
as he-said to-them and found her in-a-manner certain
συνδεδεμένην τῇ στοργῇ. καὶ ἐξελθόντες ἐκεῖθεν τοὺς
bound-together by-the affection and having-gone-out from-there the
ὄχλους ἐπεσπάσαντο καὶ τῷ ἡγεμόνι ἐνεφάνισαν.
crowds they-drew-along and to-the governor reported(-it)
20 Καὶ ἐκέλευσεν ἄγεσθαι τὸν Παῦλον ἐπὶ τὸ βῆμα·
and he-ordered to-be-brought — Paul to the judgment-seat
ἡ δὲ Θέκλα ἐκυλίετο ἐπὶ τοῦ τόπου οὗ ἐδίδασκεν ὁ
— and Thecla rolled on the place where taught —
Παῦλος καθήμενος ἐν τῇ φυλακῇ. ὁ δὲ ἡγεμὼν ἐκέλευσεν
Paul sitting in the prison the and governor ordered
κἀκείνην ἀχθῆναι ἐπὶ τὸ βῆμα· ἡ δὲ μετὰ χαρᾶς
her-too to-be-brought to the judgment-seat she and with joy
ἀπίει ἀγαλλιωμένη. ὁ δὲ ὄχλος προσαχθέντος πάλιν
went exulting the and crowd having-been-brought-forward again
τοῦ Παύλου περισσοτέρως ἐβόα Μάγος ἐστίν, αἶρε
— Paul more-exceedingly shouted (a)-sorcerer he-is take-away
αὐτόν. Ἡδέως δὲ ἤκουεν ὁ ἡγεμὼν τοῦ Παύλου ἐπὶ
him gladly but heard the governor — Paul about
τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ· καὶ συμβούλιον ποιήσας
the holy works — of-Christ and (a)-council having-made
ἐκάλεσεν τὴν Θέκλαν λέγων Διὰ τί οὐ γαμεῖ κατὰ
he-called — Thecla saying for what not does-she-marry according-to
τὸν Ἰκονιέων νόμον τῷ Θαμύριδι; ἡ δὲ εἱστήκει Παύλῳ
the of-the-Iconians law — to-Thamyris she but stood at-Paul

ἀτενίζουσα· τῆς δὲ μὴ ἀποκρινομένης, Θεοκλεία ἡ μήτηρ
gazing she and not answering Theoclia the mother
αὐτῆς ἀνέκραγεν λέγουσα Κατάκαιε τὴν ἄνομον, κατάκαιε
her cried-out saying burn the lawless(-one) burn
τὴν ἄνυμφον ἐν μέσῳ θεάτρου, ἵνα πᾶσαι αἱ ὑπὸ
the unwedded(-one) in (the)-midst of-(the)-theater that all the by
τούτου διδαχθεῖσαι γυναῖκες φοβηθῶσιν.
this(-man) taught women may-fear
Καὶ ὁ ἡγεμὼν ἔπαθεν μεγάλως, καὶ τὸν μὲν Παῦλον 21
and the governor was-moved greatly and — on-the-one-hand Paul
φραγελλώσας ἔξω τῆς πόλεως ἐξέβαλεν, τὴν δὲ Θέκλαν
having-scourged outside the city he-cast-out — on-the-other Thecla
ἔκρινεν κατακαῆναι. καὶ εὐθέως ὁ ἡγεμὼν ἀναστὰς ἀπίει
he-condemned to-be-burned and immediately the governor having-risen went
εἰς τὸ θέατρον· καὶ πᾶς ὁ ὄχλος ἐξῆλθεν ἐπὶ τὴν ἀνάγκην
to the theater and all the crowd went-out to the compulsion
τῆς θεωρίας. ἡ δὲ Θέκλα ὡς ἀμνὸς ἐν ἐρήμῳ περισκοπεῖ
of-the spectacle — and Thecla as (a)-lamb in (the)-desert looks-around-for
τὸν ποιμένα, οὕτως ἐκείνη τὸν Παῦλον ἐζήτει. καὶ ἐμβλέψασα
the shepherd thus she — Paul sought and having-looked
εἰς τὸν ὄχλον εἶδεν τὸν κύριον καθήμενον ὡς Παῦλον, καὶ
into the crowd she-saw the Lord sitting as Paul and
εἶπεν Ὡς ἀνυπομονήτου μου οὔσης ἦλθεν Παῦλος θεάσασθαί
said as unable-to-endure I being has-come Paul to-watch
με. Καὶ προσεῖχεν αὐτῷ ἀτενίζουσα· ὁ δὲ εἰς οὐρανοὺς ἀπίει.
me and she-attended to-him gazing he but into (the)-heavens went
Οἱ δὲ παῖδες καὶ αἱ παρθένοι ἤνεγκαν ξύλα καὶ χόρτον ἵνα 22
the and boys and the virgins brought wood and hay that
Θέκλα κατακαῇ. ὡς δὲ εἰσήχθη γυμνή, ἐδάκρυσεν ὁ
Thecla might-be-burned when and she-was-brought-in naked wept the
ἡγεμὼν καὶ ἐθαύμασεν τὴν ἐν αὐτῇ δύναμιν. ἔστρωσαν δὲ τὰ
governor and marveled-at the in her power spread and the

ξύλα καὶ ἐκέλευσαν αὐτὴν οἱ δήμιοι ἐπιβῆναι τῇ πυρᾷ· ἡ
wood and ordered her the executioners to-mount the pyre she
δὲ τὸν τύπον τοῦ σταυροῦ ποιησαμένη ἐπέβη τῶν ξύλων· οἱ
and the sign of-the cross having-made mounted the wood they
δὲ ὑφῆψαν. καὶ μεγάλου πυρὸς λάμψαντος οὐχ ἥψατο αὐτῆς
and lit(-it) and great fire having-blazed not touched her
τὸ πῦρ· ὁ γὰρ θεὸς σπλαγχνισθεὶς ἦχον ὑπόγαιον ἐποίησεν,
the fire — for God having-had-compassion (a)-noise underground made
καὶ νεφέλη ἄνωθεν ἐπεσκίασεν ὕδατος πλήρης καὶ χαλάζης,
and (a)-cloud from-above overshadowed of-water full and of-hail
καὶ ἐξεχύθη πᾶν τὸ κύτος, ὡς πολλοὺς κινδυνεῦσαι καὶ
and was-poured-out all the vessel so-that many to-be-in-danger and
ἀποθανεῖν, καὶ τὸ πῦρ σβεσθῆναι τὴν δὲ Θέκλαν σωθῆναι.
to-die and the fire to-be-quenched — and Thecla to-be-saved
23 Ἦν δὲ ὁ Παῦλος νηστεύων μετὰ Ὀνησιφόρου καὶ τῆς
was and — Paul fasting with Onesiphorus and the
γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων ἐν μνημείῳ ἀνοικτῷ, ἐν
wife his and the children in (a)-tomb open on
ὁδῷ ἐν ᾗ ἀπὸ Ἰκονίου εἰς Δάφνην πορεύονται. ἡνίκα δὲ
(the)-road on which from Iconium to Daphne they-go when and
ἡμέραι πολλαὶ διῆλθον, νηστευόντων αὐτῶν εἶπον οἱ παῖδες
days many passed fasting they said the children
τῷ Παύλῳ Πεινῶμεν. Καὶ οὐκ εἶχον πόθεν ἀγοράσωσιν
— to-Paul we-are-hungry and not they-had whence they-might-buy
ἄρτους· κατέλιπεν γὰρ τὰ τοῦ κόσμου ὁ Ὀνησιφόρος
loaves had-left for the(-things) of-the world — Onesiphorus
καὶ ἠκολούθει Παύλῳ πανοικί. Παῦλος δὲ ἀπεδύσατο
and followed Paul with-all-his-house Paul and stripped-off
τὸν ἐπενδύτην καὶ εἶπεν Ὕπαγε, τέκνον, ἀγόρασον ἄρτους
the cloak and said go child buy loaves
πλείονας καὶ φέρε. Ὡς δὲ ἠγόραζεν ὁ παῖς, εἶδεν
more and bring(-them) when and was-buying the boy he-saw

Θέκλαν τὴν γείτονα, καὶ ἐθαμβήθη καὶ εἶπεν Θέκλα, ποῦ
Thecla the neighbor and was-amazed and said Thecla where
πορεύῃ; ἡ δὲ εἶπεν Παῦλον διώκω, ἐκ πυρὸς σωθεῖσα.
are-you-going she and said Paul I-pursue from fire saved
Καὶ ὁ παῖς εἶπεν Δεῦρο, ἀπαγάγω σε πρὸς αὐτόν· στενάζει
and the boy said come let-me-lead you to him he-groans
γὰρ περὶ σοῦ καὶ προσεύχεται καὶ νηστεύει ἡμέρας ἤδη ἕξ.
for about you and prays and fasts days already six
Ὡς δὲ ἐπέστη ἐπὶ τὸ μνημεῖον Παύλῳ κεκλικότι τὰ 24
when and she-came to the tomb to-Paul having-bent the
γόνατα καὶ προσευχομένῳ καὶ λέγοντι Πάτερ Χριστοῦ,
knees and praying and saying father of-Christ
μὴ ἁψάσθω Θέκλης τὸ πῦρ, ἀλλὰ πάρεσο αὐτῇ, ὅτι
not let-touch Thecla the fire but be-present with-her for
σή ἐστιν, ἡ δὲ ὄπισθεν ἑστῶσα ἐβόησεν Πάτερ, ὁ
yours she-is she and behind standing cried father the(-one)
ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ τοῦ παιδὸς
having-made the heaven and the earth the(-one) of-the child
τοῦ ἀγαπητοῦ σου Ἰησοῦ Χριστοῦ πατήρ, εὐλογῶ σε ὅτι
the beloved your Jesus Christ father I-bless you that
ἔσωσάς με ἐκ πυρός, ἵνα Παῦλον ἴδω. Καὶ ἀναστὰς
you-saved me from fire that Paul I-might-see and having-risen
Παῦλος εἶδεν αὐτὴν καὶ εἶπεν Θεὲ καρδιογνῶστα, ὁ
Paul saw her and said God knower-of-hearts the
πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐλογῶ σε ὅτι
father of-the Lord our Jesus Christ I-bless you that
ὃ ἠρώτησα ἐτάχυνάς μοι καὶ εἰσήκουσάς μου.
what I-asked you-hastened to-me and heard me
Καὶ ἦν ἔσω ἐν τῷ μνημείῳ ἀγάπη πολλή, Παύλου 25
and there-was within in the tomb love much Paul
ἀγαλλιωμένου καὶ Ὀνησιφόρου καὶ πάντων. εἶχον δὲ ἄρτους
exulting and Onesiphorus and all they-had and loaves

πέντε καὶ λάχανα καὶ ὕδωρ καὶ ἅλας, καὶ εὐφραίνοντο ἐπὶ
five and herbs and water and salt and they-made-merry over
τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ. καὶ εἶπεν Θέκλα τῷ Παύλῳ
the holy works — of-Christ and said Thecla — to-Paul
Περικαροῦμαι καὶ ἀκολουθήσω σοι ὅπου δᾶν πορεύῃ. Ὁ
I-will-cut-my-hair and I-will-follow you wherever — you-go he
δὲ εἶπεν Ὁ καιρὸς αἰσχρός, καὶ σὺ εὔμορφος· μὴ ἄλλος σε
and said the time (is)-shameful and you (are)-comely lest another you
πειρασμὸς λήψεται χείρων τοῦ πρώτου, καὶ οὐχ ὑπομείνῃς
temptation take worse than-the first and not you-endure
ἀλλὰ δειλανδρήσῃς. καὶ εἶπεν Θέκλα Μόνον δός μοι τὴν ἐν
but play-the-coward and said Thecla only give me the in
Χριστῷ σφραγῖδα, καὶ οὐχ ἅψεταί μοι πειρασμός. καὶ εἶπεν
Christ seal and not will-touch me temptation and said
Παῦλος Θέκλα μακροθύμησον, καὶ λήψῃ τὸ ὕδωρ.
Paul Thecla be-patient and you-shall-receive the water
26 Καὶ ἀπέπεμψεν Παῦλος τὸν Ὀνησιφόρον πανοικὶ εἰς
and sent-away Paul — Onesiphorus with-all-his-house to
Ἰκόνιον, καὶ οὕτως λαβόμενος τὴν Θέκλαν εἰς Ἀντιόχειαν
Iconium and thus having-taken — Thecla into Antioch
εἰσῆλθεν. ἅμα δὲ τῷ εἰσέρχεσθαι αὐτούς, συριάρχης
he-entered at-the-same-time and the to-enter them syriarch
τις Ἀλέξανδρος ὀνόματι ἰδὼν τὴν Θέκλαν ἠράσθη
certain Alexander by-name having-seen — Thecla loved
αὐτῆς, καὶ ἐξελιπάρει τὸν Παῦλον χρήμασι καὶ δώροις. ὁ
her and besought — Paul with-money and gifts —
δὲ Παῦλος εἶπεν Οὐκ οἶδα τὴν γυναῖκα ἣν λέγεις, οὐδὲ
and Paul said not I-know the woman whom you-speak-of nor
ἔστιν ἐμή. ὁ δὲ πολὺ δυνάμενος, αὐτὸς αὐτῇ περιεπλάκη
is-she mine he and much being-able himself her embraced
εἰς τὸ ἄμφοδον· ἡ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ Παῦλον ἐζήτει.
in the street she but not endured(-it) but Paul sought

καὶ ἀνέκραγεν πικρῶς λέγουσα Μὴ βιάσῃ τὴν ξένην, μὴ
and cried-out bitterly saying not force the stranger not
βιάσῃ τὴν τοῦ θεοῦ δούλην. Ἰκονιέων εἰμὶ πρώτη, καὶ
force the — of-God handmaid of-the-Iconians I-am (the)-first and
διὰ τὸ μὴ θέλειν με γαμηθῆναι Θαμύριδι, ἐκβέβλημαι
because-of the not to-wish me to-be-married to-Thamyris I-have-been-cast-out
τῆς πόλεως. καὶ λαβομένη τοῦ Ἀλεξάνδρου περιέσχισεν
of-the city and having-taken-hold — of-Alexander she-tore
αὐτοῦ τὴν χλαμύδα καὶ τὸν στέφανον ἀφείλετο ἀπὸ τῆς
his the cloak and the crown took-off from the
κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν θρίαμβον.
head his and made him (a)-laughingstock
Ὁ δὲ ἅμα μὲν φιλῶν αὐτήν, ἅμα δὲ καὶ 27
he and at-once on-the-one-hand loving her at-once on-the-other also
αἰσχυνόμενος τὸ γεγονὸς αὐτῷ, προσήγαγεν αὐτὴν
ashamed-at the(-thing) having-happened to-him brought her
τῷ ἡγεμόνι, κἀκείνης ὁμολογησάσης ταῦτα πεπραχέναι
to-the governor and-she having-confessed these(-things) to-have-done
κατέκρινεν αὐτὴν εἰς θηρία. αἱ δὲ γυναῖκες ἐξεπλάγησαν καὶ
he-condemned her to beasts the and women were-astounded and
ἀνέκραξαν παρὰ τὸ βῆμα Κακὴ κρίσις, ἀνοσία κρίσις.
cried-out beside the judgment-seat evil judgment unholy judgment
Ἡ δὲ Θέκλα ἠτήσατο τὸν ἡγεμόνα ἵνα ἁγνὴ μείνῃ
— and Thecla asked the governor that chaste she-might-remain
μέχρις οὗ θηριομαχήσῃ. καί τις βασίλισσα πλουσία,
until — she-should-fight-the-beasts and (a)-certain queen rich
ὀνόματι Τρύφαινα, ἧς ἡ θυγάτηρ ἐτεθνήκει, ἔλαβεν
by-name Tryphaena whose the daughter had-died took
αὐτὴν εἰς τήρησιν, καὶ εἶχεν εἰς παραμυθίαν.
her into keeping and had(-her) for consolation

28 Ἡνίκα δὲ τὰ θηρία ἐπόμπευεν, προσέδησαν αὐτὴν λεαίνῃ
when and the beasts were-paraded they-bound her to-(a)-lioness
πικρᾷ, καὶ ἡ βασίλισσα Τρύφαινα ἐπηκολούθει αὐτῇ. ἡ δὲ
fierce and the queen Tryphaena followed her the and
λέαινα ἐπάνω καθεζομένης Θέκλης περιέλειχεν αὐτῆς τοὺς
lioness above sitting Thecla licked her the
πόδας, καὶ πᾶς ὁ ὄχλος ἐξίστατο· ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς
feet and all the crowd was-amazed the and charge of-the inscription
αὐτῆς ἦν Ἱερόσυλος. αἱ δὲ γυναῖκες μετὰ τῶν τέκνων
her was sacrilegious the and women with the children
ἔκραζον ἄνωθεν λέγουσαι Ὦ θεέ, ἀνοσία κρίσις γίνεται
cried from-above saying O God (an)-unholy judgment happens
ἐν τῇ πόλει ταύτῃ. Καὶ ἀπὸ τῆς πομπῆς πάλιν λαμβάνει
in the city this and from the procession again takes
αὐτὴν ἡ Τρύφαινα· ἡ γὰρ θυγάτηρ αὐτῆς Φαλκονίλλα ἦν
her — Tryphaena the for daughter her Falconilla was
τεθνεῶσα, καὶ κατ᾽ ὄναρ εἶπεν αὐτῇ Μῆτερ, τὴν ξένην τὴν
dead and in (a)-dream said to-her mother the stranger the
ἔρημον Θέκλαν ἕξεις εἰς τὸν ἐμὸν τόπον, ἵνα εὔξηται
forsaken Thecla you-shall-have in the my place that she-may-pray
ὑπὲρ ἐμοῦ καὶ μετατεθῶ εἰς τὸν τῶν δικαίων τόπον.
for me and I-be-transferred into the of-the righteous place

29 Ὅτε οὖν ἀπὸ τῆς πομπῆς ἐλάμβανεν αὐτὴν ἡ Τρύφαινα,
when then from the procession took her — Tryphaena
ἅμα μὲν ἐπένθει ὅτι ἔμελλεν εἰς τὴν αὔριον
at-once on-the-one-hand she-mourned because she-was-about on the morrow
θηριομαχεῖν, ἅμα δὲ καὶ στέργουσα ἐμπόνως ὡς τὴν
to-fight-the-beasts at-once on-the-other also loving(-her) painfully as the
θυγατέρα Φαλκονίλλαν εἶπεν Τέκνον μου δεύτερον Θέκλα,
daughter Falconilla she-said child my second Thecla
δεῦρο πρόσευξαι ὑπὲρ τοῦ τέκνου μου, ἵνα ζήσεται εἰς τοὺς
come pray for the child my that she-may-live for the

αἰῶνας· τοῦτο γὰρ εἶδον ἐν ὕπνοις. ἡ δὲ μὴ μελλήσασα
ages this for I-saw in sleep she and not having-delayed
ἐπῆρεν τὴν φωνὴν αὐτῆς καὶ εἶπεν Ὁ θεός μου, ὁ υἱὸς
lifted-up the voice her and said — God my the son
τοῦ ὑψίστου ὁ ἐν τῷ οὐρανῷ. δὸς αὐτῇ κατὰ τὸ
of-the most-high the(-one) in the heaven give her according-to the
θέλημα αὐτῆς, ἵνα ἡ θυγάτηρ αὐτῆς Φαλκονίλλα ζήσεται
will her that the daughter her Falconilla may-live
εἰς τοὺς αἰῶνας. καὶ ταῦτα εἰπούσης Θέκλης ἐπένθει ἡ
for the ages and these(-things) having-said Thecla mourned —
Τρύφαινα ἐπέχουσα τοιοῦτον κάλλος εἰς θηρία βαλλόμενον.
Tryphaena observing such beauty to beasts being-cast
Καὶ ὅτε ὄρθρος ἐγένετο, ἦλθεν Ἀλέξανδρος παραλαβεῖν 30
and when dawn came came Alexander to-take
αὐτήν, αὐτὸς γὰρ ἐδίδου τὰ κυνήγια, λέγων Ὁ ἡγεμὼν
her he for gave the hunts saying the governor
κάθηται καὶ ὁ ὄχλος θορυβεῖ ἡμᾶς· δὸς ἀπαγάγω
sits and the crowd clamors-at us give(-her) let-me-lead-away
τὴν θηριομάχον. ἡ δὲ Τρύφαινα ἀνέκραξεν ὥστε φυγεῖν
the beast-fighter — and Tryphaena cried-out so-that to-flee
αὐτὸν λέγουσα· Φαλκονίλλης μου δεύτερον πένθος ἐπὶ τὴν
him saying of-Falconilla my (a)-second mourning upon the
οἰκίαν γίνεται, καὶ οὐδεὶς ὁ βοηθῶν· οὔτε τέκνον,
house comes and no-one (is)-the(-one) helping neither child
ἀπέθανεν γάρ, οὔτε συγγενής, χήρα γάρ εἰμι. ὁ θεὸς
she-died for nor kinsman (a)-widow for I-am — God
Θέκλης τοῦ τέκνου μου, βοήθησον Θέκλῃ.
of-Thecla the child my help Thecla
Καὶ πέμπει ὁ ἡγεμὼν στρατιώτας ἵνα ἀχθῇ Θέκλα. ἡ 31
and sends the governor soldiers that be-brought Thecla —
δὲ Τρύφαινα οὐκ ἀπέστη, ἀλλὰ αὐτὴ λαβομένη τῆς χειρὸς
and Tryphaena not withdrew but herself having-taken the hand

αὐτῆς ἀνήγαγεν λέγουσα Τὴν μὲν θυγατέρα μου
her led(-her)-up saying the on-the-one-hand daughter my
Φαλκονίλλαν ἀπήγαγον εἰς τὸ μνημεῖον· σὲ δέ, Θέκλα,
Falconilla I-led-away to the tomb you on-the-other Thecla
εἰς θηριομαχίαν ἀπάγω. καὶ ἔκλαυσεν Θέκλα πικρῶς καὶ
to beast-fighting I-lead-away and wept Thecla bitterly and
ἐστέναξεν πρὸς κύριον, λέγουσα Κύριε ὁ θεὸς ᾧ ἐγὼ
groaned to (the)-Lord saying Lord — God in-whom I
πιστεύω, ἐφ' ὃν ἐγὼ κατέφυγα, ὁ ῥυσάμενός με ἐκ
believe to whom I fled the(-one) having-delivered me from
πυρός, ἀπόδος μισθὸν Τρυφαίνῃ τῇ εἰς τὴν δούλην
fire give (a)-wage to-Tryphaena the(-one) toward the handmaid
σου συμπαθησάσῃ, καὶ ὅτι με ἁγνὴν ἐτήρησεν.
your having-had-compassion and because me chaste she-kept

32 Θόρυβος οὖν ἐγένετό τε καὶ πάταγος τῶν θηρίων καὶ
(an)-uproar then arose both and (a)-clatter of-the beasts and
βοὴ τοῦ δήμου καὶ τῶν γυναικῶν ὁμοῦ καθεσθεισῶν,
(a)-shout of-the people and of-the women together sitting
τῶν μὲν λεγόντων Τὴν ἱερόσυλον εἰσάγαγε·
the on-the-one-hand(-men) saying the sacrilegious bring-in
τῶν δὲ λεγουσῶν Ἀρθήτω ἡ πόλις ἐπὶ τῇ
the on-the-other(-women) saying let-be-destroyed the city at the
ἀνομίᾳ ταύτῃ· αἶρε πάσας ἡμᾶς, ἀνθύπατε· πικρὸν
lawlessness this take-away all us proconsul bitter
θέαμα, κακὴ κρίσις.
spectacle evil judgment

33 Ἡ δὲ Θέκλα ἐκ χειρὸς Τρυφαίνης ληφθεῖσα ἐξεδύθη
— and Thecla from (the)-hand of-Tryphaena taken was-stripped
καὶ ἔλαβεν διαζώστραν καὶ ἐβλήθη εἰς τὸ στάδιον. καὶ
and received (a)-girdle and was-cast into the stadium and
λέοντες καὶ ἄρκοι ἐβλήθησαν ἐπ' αὐτήν. καὶ πικρὰ λέαινα
lions and bears were-cast upon her and (a)-fierce lioness

προσδραμοῦσα εἰς τοὺς πόδας αὐτῆς ἀνεκλίθη· ὁ δὲ ὄχλος
having-run-up at the feet her lay-down the and crowd
τῶν γυναικῶν ἐβόησεν μέγα. καὶ ἔδραμεν ἐπ᾽ αὐτὴν ἄρκος·
of-the women cried-out greatly and ran at her (a)-bear
ἡ δὲ λέαινα δραμοῦσα ὑπήντησεν καὶ διέρρηξεν τὴν ἄρκον.
— and lioness having-run met(-it) and tore-apart the bear
καὶ πάλιν λέων δεδιδαγμένος ἐπ᾽ ἀνθρώπους ὃς ἦν
and again (a)-lion trained against men which was
Ἀλεξάνδρου ἔδραμεν ἐπ᾽ αὐτήν· καὶ ἡ λέαινα συμπλέξασα
Alexander's ran at her and the lioness having-grappled
τῷ λέοντι συνανῃρέθη. μειζόνως δὲ ἐπένθησαν αἱ
with-the lion was-killed-with(-it) more-greatly and mourned the
γυναῖκες, ἐπειδὴ καὶ ἡ βοηθὸς αὐτῇ λέαινα ἀπέθανεν.
women since also the helper of-her lioness died
Τότε εἰσβάλλουσιν πολλὰ θηρία, ἑστώσης αὐτῆς καὶ 34
then they-throw-in many beasts standing she and
ἐκτετακυίας τὰς χεῖρας καὶ προσευχομένης. ὡς δὲ
having-stretched-out the hands and praying when and
ἐτέλεσεν τὴν προσευχήν, ἐστράφη καὶ εἶδεν ὄρυγμα μέγα
she-finished the prayer she-turned and saw (a)-pit great
πλῆρες ὕδατος, καὶ εἶπεν Νῦν καιρὸς λούσασθαί με. καὶ
full of-water and said now (it-is)-time to-wash me and
ἔβαλεν ἑαυτὴν λέγουσα Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
she-cast herself saying in the name of-Jesus Christ
ὑστέρᾳ ἡμέρᾳ βαπτίζομαι. Καὶ ἰδοῦσαι αἱ γυναῖκες καὶ
on-(the)-last day I-am-baptized and having-seen(-it) the women and
πᾶς ὁ ὄχλος ἔκλαυσαν λέγοντες Μὴ βάλῃς ἑαυτὴν εἰς τὸ
all the crowd wept saying not cast yourself into the
ὕδωρ, ὥστε καὶ τὸν ἡγεμόνα δακρῦσαι, ὅτι τοιοῦτον κάλλος
water so-that even the governor to-weep that such beauty
φώκαι ἔμελλον ἐσθίειν. ἡ μὲν οὖν ἔβαλεν ἑαυτὴν
seals were-about to-eat she on-the-one-hand then cast herself

εἰς τὸ ὕδωρ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· αἱ δὲ
into the water in the name of-Jesus Christ the on-the-other
φῶκαι πυρὸς ἀστραπῆς φέγγος ἰδοῦσαι νεκραὶ ἐπέπλευσαν.
seals of-fire of-lightning (the)-flash having-seen dead floated-up
καὶ ἦν περὶ αὐτὴν νεφέλη πυρός, ὥστε μήτε τὰ θηρία
and there-was around her (a)-cloud of-fire so-that neither the beasts
ἅπτεσθαι αὐτῆς, μήτε θεωρεῖσθαι αὐτὴν γυμνήν.
to-touch her nor to-be-seen her naked
35 Αἱ δὲ γυναῖκες ἄλλων θηρίων βαλλομένων φοβερωτέρων
the and women other beasts being-cast more-fearful
ὠλόλυξαν, καὶ αἱ μὲν ἔβαλλον φύλλον, αἱ
wailed and the(-ones) on-the-one-hand threw leaves the(-ones)
δὲ νάρδον, αἱ δὲ κασίαν, αἱ δὲ ἄμωμον,
on-the-other nard the(-ones) and cassia the(-ones) and amomum
ὡς εἶναι πλῆθος μύρων. πάντα δὲ τὰ βληθέντα
so-that to-be (a)-multitude of-perfumes all and the cast
θηρία ὥσπερ ὕπνῳ κατασχεθέντα οὐχ ἥψαντο αὐτῆς·
beasts as-if by-sleep held not touched her
ὡς τὸν Ἀλέξανδρον εἰπεῖν τῷ ἡγεμόνι Ταύρους ἔχω
so-that — Alexander to-say to-the governor bulls I-have
λίαν φοβερούς, ἐκείνοις προσδήσωμεν τὴν θηριομάχον.
very fearful to-those let-us-bind the beast-fighter
καὶ στυγνάσας ἐπέτρεψεν ὁ ἡγεμὼν λέγων Ποίει ὃ
and being-gloomy permitted the governor saying do what
θέλεις. Καὶ ἔδησαν αὐτὴν ἐκ τῶν ποδῶν μέσον τῶν
you-wish and they-bound her by the feet between the
ταύρων. καὶ ὑπὸ τὰ ἀναγκαῖα αὐτῶν πεπυρωμένα σίδηρα
bulls and under the private-parts their red-hot irons
ὑπέθηκαν, ἵνα πλείονα ταραχθέντες ἀποκτείνωσιν αὐτήν.
they-placed that more being-agitated they-might-kill her

οἱ μὲν οὖν ἤλλοντο· ἡ δὲ περικαιομένη φλὸξ
they on-the-one-hand then leaped the on-the-other burning-around flame
διέκαυσεν τοὺς κάλους. καὶ ἦν ὡς οὐ δεδεμένη.
burned-through the ropes and she-was as not bound
Ἡ δὲ Τρύφαινα ἐξέψυξεν ἑστῶσα παρὰ τὴν ἀρήναν ἐπὶ 36
— and Tryphaena fainted standing by the arena at
τοὺς ἄβακας, ὥστε τὰς θεραπαινίδας εἰπεῖν Ἀπέθανεν ἡ
the steps so-that the maidservants to-say has-died the
βασίλισσα Τρύφαινα. καὶ ἐπέσχεν ὁ ἡγεμών. καὶ πᾶσα ἡ
queen Tryphaena and stopped the governor and all the
πόλις ἐπτύρη· καὶ ὁ Ἀλέξανδρος πεσὼν εἰς τοὺς πόδας
city was-terrified and — Alexander having-fallen at the feet
τοῦ ἡγεμόνος εἶπεν· Ἐλέησον κἀμὲ καὶ τὴν πόλιν, καὶ
of-the governor said have-mercy-on me-too and the city and
ἀπόλυσον τὴν θηριομάχον, μὴ καὶ ἡ πόλις συναπόληται.
release the beast-fighter lest also the city perish-together
ταῦτα γὰρ ἐὰν ἀκούσῃ ὁ Καῖσαρ, τάχα ἀπολέσει σὺν
these(-things) for if hears — Caesar perhaps he-will-destroy with
ἡμῖν καὶ τὴν πόλιν, ὅτι ἡ συγγενὴς αὐτοῦ Τρύφαινα
us also the city because the kinswoman his Tryphaena
ἡ βασίλισσα ἀπέθανεν παρὰ τοὺς ἄβακας.
the queen has-died at the steps
Καὶ ἐκάλεσεν ὁ ἡγεμὼν τὴν Θέκλαν ἐκ μέσου τῶν 37
and called the governor — Thecla from (the)-midst of-the
θηρίων καὶ εἶπεν αὐτῇ Τίς εἶ σύ; καὶ τίνα τὰ περὶ
beasts and said to-her who are you and what (are)-the(-things) about
σέ, ὅτι οὐδὲ ἓν τῶν θηρίων ἥψατό σου; ἡ δὲ εἶπεν Ἐγὼ
you that not-even one of-the beasts touched you she and said I
μέν εἰμι θεοῦ τοῦ ζῶντος δούλη· τὰ δὲ
on-the-one-hand am of-God the living (the)-handmaid the(-things) on-the-other
περὶ ἐμέ, εἰς ὃν εὐδόκησεν ὁ θεὸς υἱὸν αὐτοῦ ἐπίστευσα·
about me in whom was-well-pleased — God (the)-son his I-believed

δι᾽ ὃν οὐδὲ ἓν τῶν θηρίων ἥψατό μου. οὗτος γὰρ
because-of whom not-even one of-the beasts touched me he for
μόνος σωτηρίας ὅρος καὶ ζωῆς ἀθανάτου ὑπόστασίς ἐστιν·
alone of-salvation (the)-bound and of-life immortal (the)-foundation is
χειμαζομένοις γὰρ γίνεται καταφυγή, θλιβομένοις ἄνεσις,
to-(the)-storm-tossed for he-becomes (a)-refuge to-(the)-afflicted relief
ἀπηλπισμένοις σκέπη, καὶ ἁπαξαπλῶς ὃς ἐὰν μὴ πιστεύσῃ
to-(the)-despairing shelter and in-a-word whoever — not believes
εἰς αὐτόν, οὐ ζήσεται ἀλλὰ ἀποθανεῖται εἰς τοὺς αἰῶνας.
in him not shall-live but shall-die for the ages

38 Καὶ ταῦτα ἀκούσας ὁ ἡγεμὼν ἐκέλευσεν ἐνεχθῆναι ἱμάτια
and these(-things) having-heard the governor ordered to-be-brought garments
καὶ εἶπεν· Ἔνδυσαι τὰ ἱμάτια. Ἡ δὲ εἶπεν Ὁ ἐνδύσας
and said put-on the garments she and said the(-one) having-clothed
με γυμνὴν ἐν τοῖς θηρίοις, οὗτος ἐν ἡμέρᾳ κρίσεως
me naked among the beasts he on (the)-day of-judgment
ἐνδύσει με σωτηρίαν. Καὶ λαβοῦσα τὰ ἱμάτια ἐνεδύσατο.
will-clothe me (with)-salvation and having-taken the garments she-put(-them)-on
καὶ ἐξέπεμψεν εὐθέως ὁ ἡγεμὼν ἄκτον λέγων Θέκλαν τὴν
and sent-forth immediately the governor (an)-act saying Thecla the
τοῦ θεοῦ δούλην τὴν θεοσεβῆ ἀπολύω ὑμῖν. Αἱ δὲ γυναῖκες
— of-God handmaid the God-fearing I-release to-you the and women
πᾶσαι ἔκραξαν φωνῇ μεγάλῃ καὶ ὡς ἐξ ἑνὸς στόματος
all cried with-(a)-voice loud and as from one mouth
ἔδωκαν αἶνον τῷ θεῷ λέγουσαι Εἷς θεὸς ὁ Θέκλαν
they-gave praise — to-God saying one (is)-God the(-one) Thecla
σώσας, ὥστε ἀπὸ τῆς φωνῆς σεισθῆναι πᾶσαν τὴν πόλιν,
having-saved so-that from the voice to-be-shaken all the city

39 καὶ τὴν Τρύφαιναν εὐαγγελισθεῖσαν ἀπαντῆσαι μετὰ
and — Tryphaena having-been-told-the-good-news to-meet(-her) with
ὄχλου καὶ περιπλακῆναι τῇ Θέκλῃ καὶ εἰπεῖν Νῦν πιστεύω
(a)-crowd and to-embrace — Thecla and to-say now I-believe

ὅτι νεκροὶ ἐγείρονται· νῦν πιστεύω ὅτι τὸ τέκνον μου ζῇ·
that (the)-dead are-raised now I-believe that the child my lives
δεῦρο ἔσω, καὶ τὰ ἐμὰ πάντα σοὶ καταγράψω. ἡ
come inside and the my(-things) all to-you I-will-assign she
μὲν οὖν Θέκλα εἰσῆλθεν μετ' αὐτῆς καὶ ἀνεπαύσατο
on-the-one-hand then Thecla went-in with her and rested
εἰς τὸν οἶκον αὐτῆς ἡμέρας ὀκτώ, κατηχήσασα αὐτὴν
in the house her days eight having-instructed her
τὸν λόγον τοῦ θεοῦ, ὥστε πιστεῦσαι καὶ τῶν παιδισκῶν
(in)-the word — of-God so-that to-believe also of-the maidservants
τὰς πλείονας, καὶ μεγάλην εἶναι χαρὰν ἐν τῷ οἴκῳ.
the most and great to-be joy in the house
Ἡ δὲ Θέκλα Παῦλον ἐπεπόθει καὶ ἐζήτει αὐτὸν περιπέμπουσα 40
— and Thecla Paul longed-for and sought him sending-around
πανταχοῦ· καὶ ἐμηνύθη αὐτῇ ἐν Μύροις εἶναι αὐτόν.
everywhere and it-was-reported to-her in Myra to-be him
καὶ λαβοῦσα νεανίσκους καὶ παιδίσκας, ἀναζωσαμένη
and having-taken young-men and maidservants having-girded-herself
καὶ ῥάψασα τὸν χιτῶνα εἰς ἐπενδύτην σχήματι ἀνδρικῷ
and having-sewn the tunic into (a)-cloak in-fashion manly
ἀπῆλθεν ἐν Μύροις. καὶ εὗρεν Παῦλον λαλοῦντα τὸν λόγον
she-went to Myra and found Paul speaking the word
τοῦ θεοῦ καὶ ἐπέστη αὐτῷ. ὁ δὲ ἐθαμβήθη βλέπων αὐτὴν
— of-God and stood-by him he and was-amazed seeing her
καὶ τὸν ὄχλον τὸν μετ' αὐτῆς, λογισάμενος μή τις αὐτῇ
and the crowd the(-one) with her thinking lest some to-her
πειρασμὸς πάρεστιν ἕτερος. ἡ δὲ συνιδοῦσα εἶπεν αὐτῷ
temptation is-present other she and having-perceived said to-him
Ἔλαβον τὸ λουτρόν, Παῦλε· ὁ γὰρ σοὶ συνεργήσας
I-have-received the washing Paul the(-one) for with-you having-worked
εἰς τὸ εὐαγγέλιον κἀμοὶ συνήργησεν εἰς τὸ λούσασθαι.
for the gospel with-me-too has-worked for the to-be-washed

41 Καὶ λαβόμενος ὁ Παῦλος τῆς χειρὸς αὐτῆς ἀπήγαγεν
and having-taken — Paul the hand her led
αὐτὴν εἰς τὸν οἶκον Ἑρμείου καὶ πάντα ἀκούει παρ᾽
her into the house of-Hermias and all(-things) hears from
αὐτῆς, ὥστε ἐπὶ πολὺ θαυμάσαι τὸν Παῦλον, καὶ
her so-that for long to-marvel — Paul and
τοὺς ἀκούοντας στηριχθῆναι καὶ προσεύξασθαι ὑπὲρ
the(-ones) hearing to-be-strengthened and to-pray for
τῆς Τρυφαίνης. καὶ ἀναστᾶσα Θέκλα εἶπεν τῷ Παύλῳ
— Tryphaena and having-risen Thecla said — to-Paul
Πορεύομαι εἰς Ἰκόνιον. Ὁ δὲ Παῦλος εἶπεν Ὕπαγε
I-go to Iconium — and Paul said go
καὶ δίδασκε τὸν λόγον τοῦ θεοῦ. ἡ μὲν οὖν
and teach the word — of-God — on-the-one-hand then
Τρύφαινα πολὺν ἱματισμὸν καὶ χρυσὸν ἔπεμψεν αὐτῇ,
Tryphaena much clothing and gold sent her
ὥστε καταλιπεῖν τῷ Παύλῳ εἰς διακονίαν τῶν πτωχῶν.
so-that to-leave(-it) — to-Paul for (the)-service of-the poor
42 Αὐτὴ δὲ ἀπῆλθεν εἰς Ἰκόνιον. καὶ εἰσέρχεται εἰς τὸν
she and went-away to Iconium and goes-in into the
Ὀνησιφόρου οἶκον, καὶ ἔπεσεν εἰς τὸ ἔδαφος ὅπου Παῦλος
of-Onesiphorus house and fell to the ground where Paul
καθεζόμενος ἐδίδασκεν τὰ λόγια τοῦ θεοῦ, καὶ ἔκλαιεν
sitting taught the oracles — of-God and wept
λέγουσα Ὁ θεός μου καὶ τοῦ οἴκου τούτου, ὅπου μοι
saying — God my and of-the house this where to-me
τὸ φῶς ἔλαμψεν, Χριστὲ Ἰησοῦ ὁ υἱὸς τοῦ θεοῦ, ὁ
the light shone Christ Jesus the son — of-God the(-one)
ἐμοὶ βοηθὸς ἐν φυλακῇ, βοηθὸς ἐπὶ ἡγεμόνων, βοηθὸς
to-me helper in prison helper before governors helper

ἐν πυρί, βοηθὸς ἐν θηρίοις, αὐτὸς εἶ θεός, καὶ σοὶ
in fire helper among beasts you are God and to-you
ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.
(be)-the glory to the ages amen
Καὶ εὗρεν τὸν Θάμυριν τεθνεῶτα, τὴν δὲ μητέρα ζῶσαν· 43
and she-found — Thamyris dead the and mother living
καὶ προσκαλεσαμένη τὴν μητέρα αὐτῆς λέγει αὐτῇ· Θεοκλεία
and having-called the mother her says to-her Theoclia
μῆτερ, δύνασαι πιστεῦσαι ὅτι ζῇ κύριος ἐν οὐρανοῖς; εἴτε
mother are-you-able to-believe that lives (the)-Lord in (the)-heavens whether
γὰρ χρήματα ποθεῖς, δώσει σοι κύριος δι᾽ ἐμοῦ· εἴτε τὸ
for money you-long-for will-give you (the)-Lord through me or the
τέκνον, ἰδού, παρέστηκά σοι. καὶ ταῦτα διαμαρτυραμένη
child behold I-have-stood-by you and these(-things) having-testified
ἀπῆλθεν εἰς Σελεύκειαν, καὶ πολλοὺς φωτίσασα τῷ
she-went-away to Seleucia and many having-enlightened with-the
λόγῳ τοῦ θεοῦ μετὰ καλοῦ ὕπνου ἐκοιμήθη.
word — of-God with (a)-good sleep fell-asleep